Lucian's conceits never degenerate into mere nursery burlesque. Through the whole narrative he holds us captive, like children, by his air of verisimilitude. He prolongs our appetite by the recurrent intellectual spice of delicate parodies that pervade his satire. He out-Herods Herodotus, whom he really revered for his mastery of narrative style,[1] and he delights to borrow the charms of the Father of History to adorn in mockery the Father of Lies; but in the end he is careful to draw aside the Babylonish garment and show us the ass's shins[2] before he bows us back again into "our own continent that lies opposite."

To say that Lucian invented all his imagery would be to ignore passages,[3] well known to him also, of the *Odyssey*, of Hesiod, Herodotus, Pindar, Plato (e.g. the *Gorgias* and the pseudo-Platonic *Axiochus*), as well as Horace. Photius, too, in his Μυριοβίβλιον ἢ Βιβλιοθήκη, gives extracts from the *Wonders of the Island Thule* (*Incredibilium de Thule Insula libri xxiv*), by Antonius Diogenes,

[1] See Luc. *Herod.* 7.
[2] *V.H.* B 46.
[3] Cf. infra, § 4, note.

whose story, he claims, is imitated both in the *Vera Historia* and in the *Asinus*.[1]

More difficult is the question of Lucian's indebtedness to versions of tales found in the *Arabian Nights* which may have been current in his Syrian home. Certainly the kingfisher (*V.H.* B 40) and the *rukh* in the "Second Voyage of Sindbad the Sailor"[2] are birds of a feather, and the leviathan fifteen hundred furlongs in length (*V.H.* A 30), which swallows Lucian's ship, is of the same school with the huge fish of "Sindbad's Seventh Voyage."[3]

The alleged reminiscences of the Christian scriptures may most of them be dismissed as obvious allusions to other writings, such as those already cited.[4] It must be admitted, however, that Lucian, Syrian-born as he was, may have had a certain superficial familiarity with the teaching, and even the phraseology, of the Christians to whom he alludes with patronizing kindliness in the *Peregrinus*.[5] The chief argument against the assumption of a covert satire upon the New Testament writings is that they were not the common property of his audience and the allusions would usually have failed of appreciation.[6] It must be admitted, however, that the allusion (*V.H.* B 13) to the monthly fruitage of the vines, while the other fruit comes thirteen times yearly, reminds us more forcibly of the Apocalypse (22, 2) than it does of the productive garden of Alcinous (*Od.* 7, 112 ff.).

[1] *καὶ γὰρ τοῦ περὶ ἀληθῶν διηγημάτων Λουκιανοῦ καὶ τοῦ περὶ μεταμορφώσεων Λουκίου πηγὴ καὶ ῥίζα.* See fragm. of Ant. Diog. in *Erotici Scriptores*, p. 511, c. 13, ed. Hirschig (Parisiis 1856).

[2] Lane's edit. vol. III, c. 20.

[3] Ibid., note 96 on c. 20.

[4] For detailed discussion of these passages see Kühn, *Commentatio qua Lucianus a crimine librorum sacrorum irrisorum liberatur* (1844), esp. pp. 17–22 for *V.H.*; also see Sommerbrodt, Introd. to *Ausgewählte Schriften des Lucian* (1872), esp. pp. xxxiii–xl; and Croiset, pp. 195 ff.

[5] See Introd. p. xv.

[6] Kühn (l.c.) reminds us that the canon of the New Testament was in process of formation and that only a few copies of these writings were accessible, and that those who betrayed them into the hands of the magistrate were known as *traditores.* He adds: (Lucianus) nullo modo persuadere sibi potuit tantam fore lectoribus suis cum his libris familiaritatem, ut inter legendum tectam suam rerum Christianarum sugillationem percipere possent.

The Vedic literature itself offers some equally striking parallels with the *Vera Historia*. Thus the rivers of honey, milk, and wine (§ 13) recall the rewards to the faithful who are promised (*Atharva-veda* 4, 34, 6) "ponds filled with clarified butter, honey, milk, and curds."[1]

Similar notions of future happiness reappear in various literatures, like the Teutonic and the Celtic. The Irish *Tir Tairngire*[2] (Land of Promise) is an island enjoying never-ending day, a fogless summer. The flowers never wither. Apple-trees abound, bearing at the same time flowers and fruit (cf. *Od.* 7, 122–128). It is rich in milk, ale, and pork. The breezes are laden with sweet music. The inhabitants are exempt from disease and death.

The *Vera Historia* has in turn served as a model, directly or indirectly, for a goodly company[3] — Rabelais, Hans Sachs, Cervantes, Quevedo, Cyrano de Bergerac, Boileau, Swift, Baron Munchausen, down to Jules Verne; but the model is also the master. Rabelais, compared with Lucian, is as coarse-grained as Rubens compared with Paul Veronese. When fancy — not purposed satire — would set our course towards the Fortunate Islands, next after Lucian we are attracted first amongst them all by the quaint German of Hans Sachs's[4] happy *Schlaraffenland* where cooks are but curious superfluities, and sturdy workmen drop like ripe plums, not into the mouths of walking delegates, but each into a pair of honest boots:

> Von Malvasier so sind die brunnen,
> Kommen eym selbst ins Maul gerunnen —
> . . . .
> Und flüget umb (müget ir glauben)
> Gebraten hüner, genß und tauben.
> . . . .
> So wachsen bawern auf den bawmen
> Gleich wie in unserm land die pflawmen.
> Wens zeitig sind, so fallens ab
> Yeder in ein paar Stifel rab.

[1] Cf. Arrowsmith's Kaegi, *The Rigveda*, p. 162.

[2] See *Enc. Brit.* V, p. 352.

[3] See Introd. pp. xxi–xxviii.

[4] For his own acknowledgement of his debt to Lucian see Introd. p. xxii.

ΑΛΗΘΟΥΣ ΙΣΤΟΡΙΑΣ

ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ

1 Τὸ δ' ἀπὸ τούτου μηκέτι φέρων ἐγὼ τὴν ἐν τῷ κήτει δίαιταν ἀχθόμενός τε τῇ μονῇ μηχανήν τινα ἐζήτουν δι' ἧς ἂν ἐξελθεῖν γένοιτο· καὶ τὸ μὲν πρῶτον ἔδοξεν ἡμῖν διορύξασι κατὰ τὸν δεξιὸν τοῖχον ἀποδρᾶναι, καὶ ἀρξάμενοι διεκόπτομεν· ἐπειδὴ δὲ προελθόντες ὅσον πέντε σταδίους οὐδὲν ἠνύομεν, τοῦ μὲν ὀρύγματος ἐπαυσάμεθα, τὴν δὲ ὕλην καῦσαι διέγνωμεν· οὕτω γὰρ ἂν τὸ κῆτος ἀποθανεῖν· εἰ δὲ τοῦτο γένοιτο, ῥᾳδία ἔμελλεν ἡμῖν ἔσεσθαι ἡ ἔξοδος. ἀρξάμενοι οὖν ἀπὸ τῶν οὐραίων ἐκαίομεν, καὶ ἡμέρας μὲν ἑπτὰ καὶ ἴσας νύκτας ἀναισθήτως εἶχε τοῦ καύματος, ὀγδόῃ δὲ καὶ ἐνάτῃ συνίεμεν αὐτοῦ νοσοῦντος· ἀργότερον γοῦν ἀνέχασκε, καὶ εἴ ποτε ἀναχάνοι, ταχὺ συνέμυε. δεκάτῃ δὲ καὶ ἑνδεκάτῃ τέλεον ἀπενενεκροῦτο καὶ δυσῶδες ἦν· τῇ

1. **μηκέτι**: see Introd. 39 (*e*). — **ἐν τῷ κήτει**: in Part A 30 of the *V.H.* Lucian and his fifty companions, ship and all, had been swallowed by a huge fish. — **κατά**: *at;* L. & S. s.v., B, 3. — **διεκόπτομεν**: *we chopped away* (conative). — **τὴν ὕλην**: from the incoming flotsam and detritus the monster (see A 31) had gradually accumulated large holdings of real estate, including a well-wooded tract of land thirty miles in circumference. **ἔμελλεν ἔσεσθαι**: "future of the past," Gildersleeve, *S.C.G.* 272, and cf. Soph. *O.T.* 967. — **ἡμέρας . . . ἴσας νύκτας**: *for seven days and nights to match.* A set phrase, cf. § 35 and A 10. — **ἀνέχασκε**: in A 40 the periodic yawning of the monster marks the passing hours: *τῷ δ' ἐνάτῳ μηνὶ πέμπτῃ ἱσταμένου περὶ τὴν δευτέραν τοῦ στόματος ἄνοιξιν — ἅπαξ γὰρ δὴ τοῦτο κατὰ τὴν ὥραν ἑκάστην ἐποίει τὸ κῆτος, ὥστε ἡμᾶς πρὸς τὰς ἀνοίξεις τεκμαίρεσθαι τὰς ὥρας — . . . ἄφνω βοὴ . . . ἠκούετο.* — **ἀπενενεκροῦτο**: *he lay mortifying.* For the compound *ἀπεννεκρόω* see App. The plpf. *ἐτεθνήκει* below means *was dead.* *τέλεον* must then

δωδεκάτῃ δὲ μόλις ἐνενοήσαμεν ὡς, εἰ μή τις χανόντος αὐτοῦ ὑποστηρίξειε τοὺς γομφίους ὥστε μηκέτι συγκλεῖσαι, κινδυνεύσομεν κατακλεισθέντες ἐν νεκρῷ αὐτῷ ἀπολέσθαι. οὕτω δὴ μεγάλοις δοκοῖς τὸ στόμα διερείσαντες τὴν ναῦν ἐπεσκευάζομεν ὕδωρ τε ὡς ἔνι πλεῖστον ἐμβαλλόμενοι καὶ τὰ ἄλλα ἐπιτήδεια· κυβερνᾶν δ' ἔμελλεν ὁ Σκίνθαρος. τῇ
2 δ' ἐπιούσῃ τὸ μὲν ἤδη ἐτεθνήκει. ἡμεῖς δὲ ἀνελκύσαντες τὸ πλοῖον καὶ διὰ τῶν ἀραιωμάτων διαγαγόντες καὶ ἐκ τῶν ὀδόντων ἐξάψαντες ἠρέμα καθήκαμεν ἐς τὴν θάλατταν· ἐπαναβάντες δὲ ἐπὶ τὰ νῶτα καὶ θύσαντες τῷ Ποσειδῶνι αὐτοῦ παρὰ τὸ τρόπαιον ἡμέρας τε τρεῖς ἐπαυλισάμενοι — νηνεμία γὰρ ἦν — τῇ τετάρτῃ ἀπεπλεύσαμεν. ἔνθα δὴ πολλοῖς τῶν ἐκ τῆς νησομαχίας νεκροῖς ἀπηντῶμεν καὶ προσωκέλλομεν, καὶ τὰ σώματα καταμετροῦντες ἐθαυμάζομεν. καὶ ἡμέρας μέν τινας ἐπλέομεν εὐκράτῳ ἀέρι χρώμενοι, ἔπειτα βορέου σφοδροῦ πνεύσαντος μέγα κρύος ἐγένετο καὶ ὑπ' αὐτοῦ πᾶν ἐπάγη τὸ πέλαγος οὐκ ἐπιπολῆς μόνον, ἀλλὰ καὶ ἐς βάθος ὅσον ἐπὶ τετρακοσίας ὀργυιάς, ὥστε καὶ ἀποβάντας διαθεῖν ἐπὶ τοῦ κρυστάλλου. ἐπιμένοντος δὲ τοῦ πνεύματος φέρειν οὐ δυνάμενοι τοιόνδε τι ἐπενοήσαμεν — ὁ δὲ τὴν γνώμην ἀποφηνάμενος ἦν Σκίνθαρος — σκάψαντες γὰρ ἐν τῷ ὕδατι σπήλαιον μέγιστον ἐν τούτῳ ἐμείναμεν ἡμέρας τριάκοντα, πῦρ ἀνακαίοντες καὶ σιτούμενοι τοὺς ἰχθῦς· εὑρίσκομεν δὲ αὐτοὺς ἀνορύττοντες. ἐπειδὴ δὲ ἤδη

mean *throughout*, not *completely*. Cf. *διὰ τέλους*. — **μόλις**: *just in time*. — **ὥστε**: the consecutive clause becomes also final. GMT. 587, 3. — **Σκίνθαρος**: a shipwrecked squatter found by Lucian (A 33) in the fish.

2. **ἀραιωμάτων**: sc. *τῶν ὀδόντων*. Cf. A 30. — **ἐκ τῶν ὀδόντων ἐξάψαντες**: *using his teeth as davits*. — **παρὰ τὸ τρόπαιον**: the victors in the "battle of the islands" (cf. A 42) had staked up on the fish's head one of the hostile islands as a trophy. — **προσωκέλλομεν**: sc. *τὴν ναῦν*: *we beached our boat*. The dead bodies (cf. A 40) were *ὅσον ἡμισταδιαῖοι τὰς ἡλικίας*. — **ὥστε . . . κρυστάλλου**: Lucian takes for granted a public unused to safe ice, as did

ἐπέλιπε τὰ ἐπιτήδεια, προελθόντες καὶ τὴν ναῦν πεπηγυῖαν ἀνασπάσαντες καὶ πετάσαντες τὴν ὀθόνην ἐσυρόμεθα ὥσπερ πλέοντες λείως καὶ προσηνῶς ἐπὶ τοῦ πάγου διολισθαίνοντες. ἡμέρᾳ δὲ πέμπτῃ ἀλέα τε ἤδη ἦν καὶ ὁ πάγος ἐλύετο καὶ
3 ὕδωρ πάντα αὖθις ἐγίνετο. πλεύσαντες οὖν ὅσον τριακοσίους σταδίους νήσῳ μικρᾷ καὶ ἐρήμῃ προσηνέχθημεν, ἀφ' ἧς ὕδωρ λαβόντες—ἐπελελοίπει γὰρ ἤδη—καὶ δύο ταύρους ἀγρίους κατατοξεύσαντες ἀπεπλεύσαμεν. οἱ δὲ ταῦροι οὗτοι τὰ κέρατα οὐκ ἐπὶ τῆς κεφαλῆς εἶχον, ἀλλ' ὑπὸ τοῖς ὀφθαλμοῖς, ὥσπερ ὁ Μῶμος ἠξίου. μετ' οὐ πολὺ δὲ εἰς πέλαγος ἐνεβαίνομεν, οὐχ ὕδατος, ἀλλὰ γάλακτος· καὶ νῆσος ἐν αὐτῷ ἐφαίνετο λευκὴ πλήρης ἀμπέλων. ἦν δὲ ἡ νῆσος τυρὸς μέγιστος, πάνυ συμπεπηγώς, ὡς ὕστερον ἐμφαγόντες ἐμάθομεν, πέντε καὶ εἴκοσι σταδίων τὸ περίμετρον· αἱ δὲ ἄμπελοι βοτρύων πλήρεις, οὐ μέντοι οἶνον ἀλλὰ γάλα ἐξ αὐτῶν ἀποθλίβοντες ἐπίνομεν. ἱερὸν δὲ ἐν μέσῃ τῇ νήσῳ ἐνῳκοδόμητο Γαλατείας τῆς Νηρηίδος, ὡς ἐδήλου τὸ ἐπίγραμμα. ὅσον δ' οὖν χρόνον ἐκεῖ ἐμείναμεν, ὄψον μὲν ἡμῖν καὶ σιτίον ἡ γῆ ὑπῆρχε, ποτὸν δὲ τὸ γάλα τὸ ἐκ τῶν βοτρύων. βασιλεύειν δὲ τῶν χωρίων τούτων ἐλέγετο Τυρὼ ἡ Σαλμωνέως, μετὰ τὴν ἐντεῦθεν ἀπαλλαγὴν ταύτην παρὰ

Ovid (*Tristia* 3, 10, 33); but cf. Thuc. 3, 23, where the Plataeans crossed the ditch with difficulty, *κρύσταλλός τε γὰρ ἐπεπήγει οὐ βέβαιος*. **λείως . . . διολισθαίνοντες**: technical coloring. Cf. *de Domo* 12 *τὴν δὲ ναῦν . . . λείως ἐπ' ἄκρων ἠρέμα διολισθάνουσαν τῶν κυμάτων*.

3. ἐπελελοίπει: note tense, *not a drop was left*. — **Μῶμος ἠξίου**: cf. *Nigr.* 32 *ἐκεῖνος* (sc. *ὁ Μῶμος*) *ἐμέμφετο τοῦ ταύρου τὸν δημιουργὸν θεὸν οὐ προθέντα τῶν ὀφθαλμῶν τὰ κέρατα*. In *Hermot.* 20 Momus also criticizes Hephaestus, as architect, for not making windows in the human breast to facilitate observation as to *ἃ βούλεται καὶ ἐπινοεῖ καὶ εἰ ψεύδεται ἢ ἀληθεύει*. — **Γαλατείας**: for the sake of the pun on "milk-white." In *D. Mar.* 1, 3 Doris thus taunts Galatea: *ἐπικύψασα ἐς τὸ ὕδωρ ἰδὲ σεαυτὴν οὐδὲν ἄλλο ἢ χρόαν λευκὴν ἀκριβῶς*. — **Τυρώ**: there is a pun on *τυρός*: see *D. Mar.* 13 for her rival lovers Poseidon and the river-god Enipeus. In *D. Mort.* 18 Tyro is included among the canonized belles and beaux.

4 τοῦ Ποσειδῶνος λαβοῦσα τὴν τιμήν. μείναντες δὲ ἡμέρας ἐν τῇ νήσῳ πέντε τῇ ἕκτῃ ἐξωρμήσαμεν, αὔρας μέν τινος παραπεμπούσης, λειοκύμονος δὲ οὔσης τῆς θαλάττης· τῇ ὀγδόῃ δὲ ἡμέρᾳ πλέοντες οὐκέτι διὰ τοῦ γάλακτος, ἀλλ' ἤδη ἐν ἁλμυρῷ καὶ κυανῷ ὕδατι, καθορῶμεν ἀνθρώπους πολλοὺς ἐπὶ τοῦ πελάγους διαθέοντας, ἅπαντα ἡμῖν προσεοικότας καὶ τὰ σώματα καὶ τὰ μεγέθη, πλὴν τῶν ποδῶν μόνων· ταῦτα γὰρ φέλλινα εἶχον· ἀφ' οὗ δὴ οἶμαι καὶ ἐκαλοῦντο Φελλόποδες. ἐθαυμάζομεν οὖν ἰδόντες οὐ βαπτιζομένους ἀλλ' ὑπερέχοντας τῶν κυμάτων καὶ ἀδεῶς ὁδοιποροῦντας. οἱ δὲ καὶ προσῄεσαν καὶ ἠσπάζοντο ἡμᾶς Ἑλληνικῇ φωνῇ ἔλεγόν τε εἰς Φελλὼ τὴν αὐτῶν πατρίδα ἐπείγεσθαι· μέχρι μὲν οὖν τινος συνωδοιπόρουν ἡμῖν παραθέοντες, εἶτα ἀποτραπόμενοι τῆς ὁδοῦ ἐβάδιζον εὔπλοιαν ἡμῖν ἐπευξάμενοι. μετ' ὀλίγον δὲ πολλαὶ νῆσοι ἐφαίνοντο, πλησίον μὲν ἐξ ἀριστερῶν ἡ Φελλώ, εἰς ἣν ἐκεῖνοι ἔσπευδον, πόλις ἐπὶ μεγάλου καὶ στρογγύλου φελλοῦ κατοικουμένη· πόρρωθεν δὲ καὶ μᾶλλον ἐν δεξιᾷ πέντε μέγισται καὶ ὑψηλόταται, καὶ πῦρ πολὺ
5 ἀπ' αὐτῶν ἀνεκαίετο, κατὰ δὲ τὴν πρῷραν μία πλατεῖα καὶ ταπεινή, σταδίους ἐπέχουσα οὐκ ἐλάττους πεντακοσίων. ἤδη δὲ πλησίον τε ἦμεν καὶ θαυμαστή τις αὔρα περιέπνευσεν ἡμᾶς, ἡδεῖα καὶ εὐώδης, οἵαν φησὶν ὁ συγγραφεὺς Ἡρόδοτος ἀπόζειν τῆς εὐδαίμονος Ἀραβίας. οἷον γὰρ ἀπὸ ῥόδων καὶ ναρκίσσων καὶ ὑακίνθων καὶ κρίνων καὶ ἴων, ἔτι δὲ μυρρίνης καὶ δάφνης καὶ ἀμπελάνθης, τοιοῦτον ἡμῖν τὸ

4. **Φελλόποδες**: *cork-trotters.* Cf. Irish "bog-trotters." Φελλεύς, *Cork-oak Ridge*, was a name in Italy and may help float the pun, but the current meaning was 'a stony tract.' — **εἰς Φελλὼ τὴν αὐτῶν πατρίδα**: *to the old country, to Cork.* — **ἐβάδιζον . . . ἐπευξάμενοι**: *off they walked, praying Heaven to vouchsafe us a good voyage.* ἐπεύχομαι suggests their distrust of other methods of seafaring. — **στρογγύλου**: *drum-shaped.*

5. **κατὰ τὴν πρῷραν**: *dead ahead*; cf. Thuc. 2, 97 κατὰ πρύμναν . . . τὸ πνεῦμα, *with the wind astern.* — **φησὶν**: cf. Hdt. 3, 113 ἀπόζει δὲ τῆς χώρης τῆς

ἡδὺ προσέβαλλεν. ἡσθέντες δὲ τῇ ὀσμῇ καὶ χρηστὰ ἐκ μακρῶν πόνων ἐλπίσαντες κατ' ὀλίγον ἤδη πλησίον τῆς νήσου ἐγιγνόμεθα. ἔνθα δὴ καὶ καθεωρῶμεν λιμένας τε πολλοὺς περὶ πᾶσαν ἀκλύστους καὶ μεγάλους, ποταμούς τε διαυγεῖς ἐξιόντας ἠρέμα ἐς τὴν θάλατταν, ἔτι δὲ λειμῶνας καὶ ὕλας καὶ ὄρνεα μουσικά, τὰ μὲν ἐπὶ τῶν ᾐόνων ᾄδοντα, πολλὰ δὲ καὶ ἐπὶ τῶν κλάδων· ἀήρ τε κοῦφος καὶ εὔπνους περιεκέχυτο τὴν χώραν· καὶ αὖραι δέ τινες ἡδεῖαι διαπνέουσαι ἠρέμα τὴν ὕλην διεσάλευον, ὥστε καὶ ἀπὸ τῶν κλάδων κινουμένων τερπνὰ καὶ συνεχῆ μέλη ἀπεσυρίζετο ἐοικότα τοῖς ἐπ' ἐρημίας αὐλήμασι τῶν πλαγίων αὐλῶν. καὶ μὴν καὶ βοὴ σύμμικτος ἠκούετο ἄθρους, οὐ θορυβώδης, ἀλλ' οἵα γένοιτ' ἂν ἐν συμποσίῳ, τῶν μὲν αὐλούντων, τῶν δὲ ἐπᾳδόντων, ἐνίων δὲ κροτούντων πρὸς αὐλὸν ἢ κιθάραν.

6 τούτοις ἅπασι κηλούμενοι κατήχθημεν, ὁρμίσαντες δὲ τὴν ναῦν ἀπεβαίνομεν τὸν Σκίνθαρον ἐν αὐτῇ καὶ δύο τῶν

'Αραβίης θεσπέσιον ὡς ἡδύ and 3, 23 ὄζειν δὲ ἀπ' αὐτῆς ὡς εἰ ἴων.—**τῆς νήσου**: to the Greeks, loving the Aegean and the "glittering Cyclades," islands were fit for the birth of gods and the joy of men. The allusions to the Islands of the Blest are various. The Elysium of the gods on Olympus blends (cf. *Od.* 6, 41 ff., and 4, 563 ff.), with the Elysium for mortals. Ps.-Dem., 60, 34, places the dead heroes, as πάρεδροι of the gods, ἐν μακάρων νήσοις. Hesiod, *W. & D.* 169–173, mentions the Islands by name and gives a typical, though meagre, description. In Oceanus the Heroes dwell afar, heart-free of trouble in the Islands of the Blest, and three times a year the earth yields her increase. Plato makes casual allusion in *Symp.* 179 E; *Rep.* 6, 519 E and 540 B; more particularly in *Gorg.* 524 A. But the locus classicus is Pindar *Ol.* 2, 109 ff. . . . ἔνθα μακάρων νᾶσος (= νήσους) ὠκεανίδες αὖραι περιπνέοισιν. Here there is the unlaborious life, with wreaths of flowers unfading, plucked on water and on land, while Ocean's breezes fail not, and crowning all is the company of the great and noble dead (cf. Plato *Apol.* 40 E). Pindar's Fragm. (10, 1 Boeckh) tr. by Symonds has also the sensuous beauty without the noble climax. Cf. also Horace *Epod.* 16, 41 ff. See p. 54.—**ἐπ' ἐρημίας**: in deserto loco; i.e. hung up by shepherds as votive offerings. Jerram cites Virg. *Ecl.* 7, 24:

Hic arguta sacra pendebit fistula pinu.

—**πλαγίων**: see Howard, *H.S.C.P.* IV, 14.

ἑταίρων ἀπολιπόντες. προϊόντες δὲ διὰ λειμῶνος εὐανθοῦς
ἐντυγχάνομεν τοῖς φρουροῖς καὶ περιπόλοις, οἳ δὲ δήσαντες
ἡμᾶς ῥοδίνοις στεφάνοις — οὗτος γὰρ μέγιστος παρ' αὐτοῖς
δεσμός ἐστιν — ἀνῆγον ὡς τὸν ἄρχοντα, παρ' ὧν δὴ καθ'
ὁδὸν ἠκούσαμεν ὡς ἡ μὲν νῆσος εἴη τῶν Μακάρων προσα-
γορευομένων, ἀρχὸς δὲ ὁ Κρὴς Ῥαδάμανθυς. καὶ δὴ ἀνα-
χθέντες ὡς αὐτὸν ἐν τάξει τῶν δικαζομένων ἔστημεν τέταρτοι.
7 ἦν δὲ ἡ μὲν πρώτη δίκη περὶ Αἴαντος τοῦ Τελαμῶνος, εἴτε
χρὴ αὐτὸν συνεῖναι τοῖς ἥρωσιν εἴτε καὶ μή· κατηγορεῖτο
δὲ αὐτοῦ ὅτι μεμήνοι καὶ ἑαυτὸν ἀποκτάνοι. τέλος δὲ πολ-
λῶν ῥηθέντων ἔγνω ὁ Ῥαδάμανθυς, νῦν μὲν αὐτὸν πιόμενον
τοῦ ἑλλεβόρου παραδοθῆναι Ἱπποκράτει τῷ Κῴῳ ἰατρῷ,
8 ὕστερον δὲ σωφρονήσαντα μετέχειν τοῦ συμποσίου. δευ-
τέρα δὲ ἦν κρίσις ἐρωτική, Θησέως καὶ Μενελάου περὶ τῆς
Ἑλένης διαγωνιζομένων, ποτέρῳ χρὴ αὐτὴν συνοικεῖν. καὶ
ὁ Ῥαδάμανθυς ἐδίκασε Μενελάῳ συνεῖναι αὐτὴν ἅτε καὶ
τοσαῦτα πονήσαντι καὶ κινδυνεύσαντι τοῦ γάμου ἕνεκα·
καὶ γὰρ αὖ τῷ Θησεῖ καὶ ἄλλας εἶναι γυναῖκας τήν τε Ἀμα-
9 ζόνα καὶ τὰς τοῦ Μίνωος θυγατέρας. τρίτη δ' ἐδικάσθη
περὶ προεδρίας Ἀλεξάνδρῳ τε τῷ Φιλίππου καὶ Ἀννίβᾳ τῷ
Καρχηδονίῳ, καὶ ἔδοξε προέχειν ὁ Ἀλέξανδρος, καὶ θρόνος
10 αὐτῷ ἐτέθη παρὰ Κῦρον τὸν Πέρσην τὸν πρότερον. τέταρ-
τοι δὲ ἡμεῖς προσήχθημεν· καὶ ὁ μὲν ἤρετο τί παθόντες

6. **λειμῶνος εὐανθοῦς**: so in Ar. *Ran.* 373 the Mystae are to advance εἰς τοὺς εὐανθεῖς κόλπους λειμώνων. — **τοῖς φρουροῖς καὶ περιπόλοις**: *the watch and patrol.* Note the article. — **παρ' ὧν**: note the relative instead of another demonstrative, although the clause is logically co-ordinate with the preceding. Cf. Acts 24, 6–8. — **τῶν δικαζομένων . . . τέταρτοι**: *fourth on the court docket.*

7. **μεμήνοι**: note tense and the shift to aorist. — **ἀποκτάνοι**: 2d aor. is poetic. — **ὕστερον**: see § 23.

8. **τήν τε Ἀμαζόνα**: Antiope or Hippolyte. — **τὰς . . . θυγατέρας**: i.e. the ill-used Ariadne and her sister, the faithless Phaedra.

9. **Ἀλεξάνδρῳ . . . Ἀννίβᾳ**: in *D. Mort.* 12 Lucian hits Alexander hard, but gives him a first place with Scipio a

ἔτι ζῶντες ἱεροῦ χωρίου ἐπιβαίημεν· ἡμεῖς δὲ πάντα ἑξῆς διηγησάμεθα. οὗτος δὲ μεταστησάμενος ἡμᾶς πολὺν χρόνον ἐσκέπτετο καὶ τοῖς συνέδροις ἐκοινοῦτο περὶ ἡμῶν. συνήδρευον δὲ ἄλλοι τε πολλοὶ καὶ Ἀριστείδης ὁ δίκαιος ὁ Ἀθηναῖος. ὡς δὲ ἔδοξεν αὐτῷ, ἀπεφήνατο τῆς μὲν φιλοπραγμοσύνης καὶ τῆς ἀποδημίας, ἐπειδὰν ἀποθάνωμεν, δοῦναι τὰς εὐθύνας, τὸ δὲ νῦν ῥητὸν χρόνον μείναντας ἐν τῇ νήσῳ καὶ συνδιαιτηθέντας τοῖς ἥρωσιν ἀπελθεῖν. ἔταξε δὲ καὶ τὴν προθεσμίαν τῆς ἐπιδημίας μὴ πλέον μηνῶν ἑπτά.
11 *τοὐντεῦθεν ἡμῖν αὐτομάτων τῶν στεφάνων περιρρυέντων ἐλελύμεθα καὶ εἰς τὴν πόλιν ἠγόμεθα καὶ εἰς τὸ τῶν Μακάρων συμπόσιον. αὐτὴ μὲν οὖν ἡ πόλις πᾶσα χρυσῆ, τὸ δὲ τεῖχος περίκειται σμαράγδινον· πύλαι δέ εἰσιν ἑπτά, πᾶσαι μονόξυλοι κινναμώμινοι· τὸ μέντοι ἔδαφος τῆς πόλεως καὶ ἡ ἐντὸς τοῦ τείχους γῆ ἐλεφαντίνη· ναοὶ δὲ πάντων θεῶν βηρύλλου λίθου ᾠκοδομημένοι, καὶ βωμοὶ ἐν αὐτοῖς μέγιστοι μονόλιθοι ἀμεθύστινοι, ἐφ᾽ ὧν ποιοῦσι τὰς ἑκατόμβας. περὶ δὲ τὴν πόλιν ῥεῖ ποταμὸς μύρου τοῦ καλλίστου τὸ πλάτος πήχεων ἑκατὸν βασιλικῶν, βάθος δὲ πεντήκοντα, ὥστε νεῖν εὐμαρῶς. λουτρὰ δέ ἐστιν αὐτοῖς οἶκοι μεγάλοι ὑάλινοι, τῷ κινναμώμῳ ἐγκαιόμενοι· ἀντὶ μέντοι ὕδατος ἐν*
12 *ταῖς πυέλοις δρόσος θερμή ἐστιν. ἐσθῆτι δὲ χρῶνται ἀραχνίοις λεπτοῖς, πορφυροῖς. αὐτοὶ δὲ σώματα μὲν οὐκ*

close second to please Lucian's Roman constituency, and Hannibal third.

10. ἀπεφήνατο: sc. *γνώμην*. — **τοῖς ἥρωσιν**: *the Heroes* (technical term like "the Saints and Martyrs"). With these the guests are least *déclassés*.

11. ἡ πόλις: see p. 55. — **μονόξυλοι κινναμώμινοι**: *single planks sawn out of the cinnamon tree.* This is an improvement on the rolls of cinnamon bark brought (Hdt. 3, 111) by the birds in their beaks from quarters unknown. — **μονόλιθοι**: cf. the *οἴκημα μουνόλιθον* in Hdt. 2, 175. Note in connexion with this and *μονόξυλοι* above that the English translation only, not the Greek, suggests a reminiscence of Rev. 21, 21 *ἀνὰ εἷς ἕκαστος τῶν πυλώνων ἦν ἐξ ἑνὸς μαργαρίτου.* See p. 55, note 4. — **οἶκοι**: *apartments.*

ἔχουσιν, ἀλλ' ἀναφεῖς καὶ ἄσαρκοί εἰσι, μορφὴν δὲ καὶ ἰδέαν μόνην ἐμφαίνουσι, καὶ ἀσώματοι ὄντες ὅμως συνεστᾶσι καὶ κινοῦνται καὶ φρονοῦσι καὶ φωνὴν ἀφιᾶσι, καὶ ὅλως ἔοικε γυμνή τις ἡ ψυχὴ αὐτῶν περιπολεῖν τὴν τοῦ σώματος ὁμοιότητα περικειμένη· εἰ γοῦν μὴ ἅψαιτό τις, οὐκ ἂν ἐλέγξειε μὴ εἶναι σῶμα τὸ ὁρώμενον· εἰσὶ γὰρ ὥσπερ σκιαὶ ὀρθαί, οὐ μέλαιναι. γηράσκει δὲ οὐδείς, ἀλλ' ἐφ' ἧς ἂν ἡλικίας ἔλθῃ παραμένει. οὐ μὴν οὐδὲ νὺξ παρ' αὐτοῖς γίνεται, οὐδὲ ἡμέρα πάνυ λαμπρά· καθάπερ γὰρ τὸ λυκαυγὲς ἤδη πρὸς ἕω μηδέπω ἀνατείλαντος ἡλίου, τοιοῦτο φῶς ἐπέχει τὴν γῆν. καὶ μέντοι καὶ ὥραν μίαν ἴσασι τοῦ ἔτους· ἀεὶ γὰρ παρ' αὐτοῖς ἔαρ ἐστὶ καὶ εἷς ἄνεμος παρ' αὐτοῖς
13 πνεῖ ὁ ζέφυρος. ἡ δὲ χώρα πᾶσι μὲν ἄνθεσι, πᾶσι δὲ φυτοῖς ἡμέροις τε καὶ σκιεροῖς τέθηλεν· αἱ μὲν γὰρ ἄμπελοι

12. ἀναφεῖς: *intangible*, see App. — **ἄσαρκοι**: *have no flesh and blood.* In the Atharvaveda 4, 34, 2: "Boneless, pure, cleansed by the wind, shining, to a shining realm they go." — **μορφὴν δὲ καὶ ἰδέαν**: *contour and form.* For the connexion between μορφή and κίνησις in the jargon of the schools, see *Vit. Auct.* 4. — **συνεστᾶσι . . . ἀφιᾶσι**: *have consistence and powers of locomotion, of thought, and of articulate speech.* Cf. Plato *Soph.* 248–250. — **ἅψαιτο**: *grasp at.* Not inconsistent with ἀναφεῖς. — **μὴ εἶναι**: see GMT. 685. — **ὥσπερ . . . μέλαιναι**: *like shadows,* (but) *bolt upright* and *not black* (like mere silhouettes). Sbdt. reads ὡραῖαι for ὀρθαί. But shadows have their vagaries; in Mark Twain's *Following the Equator* they are frozen to the deck, i.e. οὐκ ὀρθαί! — **γηράσκει . . . παραμένει**: cf. *Od.* 11, 38–43. In *Icar.* 28 Lucian makes capital of this idea: ἀνελογιζόμην . . . πῶς ἐν τοσούτῳ χρόνῳ ὁ Ἀπόλλων οὐ φύει πώγωνα. — **οὐδὲ νύξ**: a hit at the description of Thule in Antonius Diogenes, see p. 54; cf. *Icar.* 28, and possibly also Pindar *Ol.* 2, 109–110; no reference to Rev. 21, 26 or Zech. 14, 7 need be assumed. — **λυκαυγές**: cf. *Gall.* 33. — **ἀεὶ . . . ἔαρ**: for whole description cf. Pseudo-Plato *Axiochus* 13 οὔτε γὰρ χεῖμα σφοδρὸν οὔτε θάλπος ἐγγίγνεται. — **ζέφυρος**: due W. or N.W. wind, and in Homer thought of for the Troad as blowing raw and stormy from the snows of Thrace; but in the Elysian fields (*Od.* 4, 567–568) and in Alcinous's garden in the west (see Perrin on *Od.* 7, 119) it blows, as in Italy, grata vice veris et Favoni (Horace *Carm.* 1, 4, 1, and 4, 7, 9). In Athens, too, Lucian would have seen on the Tower of the Winds Zephyrus floating gently and showering flowers.

δωδεκαφόροι εἰσὶ καὶ κατὰ μῆνα ἕκαστον καρποφοροῦσι· τὰς δὲ ῥοιὰς καὶ τὰς μηλέας καὶ τὴν ἄλλην ὀπώραν ἔλεγον μὲν εἶναι τρισκαιδεκαφόρον· ἑνὸς γὰρ μηνὸς τοῦ παρ' αὐτοῖς Μινῴου δὶς καρποφορεῖ. ἀντὶ δὲ πυροῦ οἱ στάχυες ἄρτον ἕτοιμον ἐπ' ἄκρων φύουσιν ὥσπερ μύκητας. πηγαὶ δὲ περὶ τὴν πόλιν ὕδατος μὲν πέντε καὶ ἑξήκοντα καὶ τριακόσιαι, μέλιτος δὲ ἄλλαι τοσαῦται, μύρου δὲ πεντακόσιαι, μικρότεραι μέντοι αὗται· καὶ ποταμοὶ γάλακτος ἑπτὰ καὶ
14 οἴνου ὀκτώ. τὸ δὲ συμπόσιον ἔξω τῆς πόλεως πεποίηται ἐν τῷ Ἠλυσίῳ καλουμένῳ πεδίῳ· λειμὼν δέ ἐστι κάλλιστος καὶ περὶ αὐτὸν ὕλη παντοία, πυκνή, ἐπισκιάζουσα τοὺς κατακειμένους· καὶ στρωμνὴ μὲν ἐκ τῶν ἀνθέων ὑποβέβληται. διακονοῦνται δὲ καὶ διαφέρουσιν ἕκαστα οἱ ἄνεμοι πλήν γε τοῦ οἰνοχοεῖν· τούτου γὰρ οὐ δέονται, περὶ δὲ τὸ συμπόσιον ὑάλινά ἐστι μεγάλα δένδρα τῆς διαυγεστάτης ὑάλου καὶ καρπός ἐστι τῶν δένδρων τούτων ποτήρια παντοῖα καὶ τὰς κατασκευὰς καὶ τὰ μεγέθη. ἐπειδὰν οὖν παρίῃ τις ἐς τὸ συμπόσιον, τρυγήσας ἓν ἢ καὶ δύο τῶν ἐκπωμάτων παρατίθεται, τὰ δὲ αὐτίκα οἴνου πλήρη γίγνεται. οὕτω μὲν πίνουσιν. ἀντὶ δὲ τῶν στεφάνων αἱ ἀηδόνες καὶ τὰ ἄλλα μουσικὰ ὄρνεα ἐκ τῶν πλησίον λειμώνων τοῖς στόμασιν ἀνθολογοῦντα κατανίφει αὐτοὺς μετ' ᾠδῆς ὑπερπετόμενα. καὶ μὴν καὶ μυρίζονται ὧδε· νεφέλαι πυκναὶ ἀνασπάσασαι

13. **δωδεκαφόροι**: act. compound vs. pass. *ὀκτώφορος borne of eight.* Note that the alleged parallel in Rev. 22, 2 (i.e. *ποιοῦν καρποὺς δώδεκα*) coincides verbally only in *κατὰ μῆνα ἕκαστον*.— **ἄρτον ἕτοιμον**: still better than the ready-made crops — *ἄσπαρτα* and *ἀνήροτα* — in *Od.* 9, 109. Hans Sachs improves on this again, cf. p. 56.— **πηγαί**: Lucian makes the most of his calendar: we have three hundred and sixty-five streams of water and monthly crops of the vines, while the Jewish and Roman weeks (nundinae) respectively are reflected in the seven rivers of milk and the eight of wine. This conception of heaven is as old as the Vedas, see p. 56.

14. **τρυγήσας**: note the nonchalant technicality of the expression. — **κατανίφει**: transitive. Cf. Ar. *Ach.* 138 (sc. *ὁ θεὸς*) *κατένειψε χιόνι τὴν Θρᾴκην.*

μύρον ἐκ τῶν πηγῶν καὶ τοῦ ποταμοῦ καὶ ἐπιστᾶσαι ὑπὲρ
τὸ συμπόσιον ἠρέμα τῶν ἀνέμων ὑποθλιβόντων ὕουσι λεπτὸν
15 ὥσπερ δρόσον. ἐπὶ δὲ τῷ δείπνῳ μουσικῇ τε καὶ ᾠδαῖς
σχολάζουσιν· ᾄδεται δὲ αὐτοῖς τὰ τοῦ Ὁμήρου ἔπη μάλι-
στα· καὶ αὐτὸς γὰρ πάρεστι καὶ συνευωχεῖται αὐτοῖς ὑπὲρ
τὸν Ὀδυσσέα κατακείμενος. οἱ μὲν οὖν χοροὶ ἐκ παίδων
εἰσὶ καὶ παρθένων· ἐξάρχουσι δὲ καὶ συνᾴδουσιν Εὔνομός
τε ὁ Λοκρὸς καὶ Ἀρίων ὁ Λέσβιος καὶ Ἀνακρέων καὶ Στησί-
χορος· καὶ γὰρ τοῦτον παρ᾽ αὐτοῖς ἐθεασάμην, ἤδη τῆς
Ἑλένης αὐτῷ διηλλαγμένης. ἐπειδὰν δὲ οὗτοι παύσωνται
ᾄδοντες, δεύτερος χορὸς παρέρχεται ἐκ κύκνων καὶ χελιδό-
νων καὶ ἀηδόνων. ἐπειδὰν δὲ καὶ οὗτοι ᾄσωσι, τότε ἤδη
16 πᾶσα ἡ ὕλη ἐπαυλεῖ τῶν ἀνέμων καταρχόντων. μέγιστον
δὲ δὴ πρὸς εὐφροσύνην ἐκεῖνο ἔχουσι· πηγαί εἰσι δύο παρὰ
τὸ συμπόσιον, ἡ μὲν γέλωτος, ἡ δὲ ἡδονῆς· ἐκ τούτων ἑκα-
τέρας πάντες ἐν ἀρχῇ τῆς εὐωχίας πίνουσι καὶ τὸ λοιπὸν
ἡδόμενοι καὶ γελῶντες διάγουσι.

17 Βούλομαι δὲ εἰπεῖν καὶ τῶν ἐπισήμων οὕστινας παρ᾽
αὐτοῖς ἐθεασάμην· πάντας μὲν τοὺς ἡμιθέους καὶ τοὺς ἐπὶ
Ἴλιον στρατεύσαντας πλήν γε τοῦ Λοκροῦ Αἴαντος· ἐκεῖνον
δὲ μόνον ἔφασκον ἐν τῷ τῶν ἀσεβῶν χώρῳ κολάζεσθαι.

—**τῶν πηγῶν**: *the* (above-mentioned five hundred) *fountains.*

15. **ἐπὶ δὲ . . . σχολάζουσιν**: cf. Pindar *Fragm.* 106 (Bergk).—**Εὔνομος**: the musician upon whose cithara a cicada sprang and supplied the deficiency caused by a broken string. Strabo, 6, p. 260, states that at Locri in Italy his statue was shown, *τέττιγα ἐπὶ τὴν κιθάραν καθήμενον ἔχων.*—**Ἀρίων**: see *D. Mar.* 8 and Hdt. 1, 24.—**διηλλαγμένης**: i.e. thanks to his palinode, cf. Plato *Phaedr.* 243 A quoting *Fragm.* 32:

οὐκ ἔστ᾽ ἔτυμος λόγος οὗτος,
οὐδ᾽ ἔβας ἐν νηυσὶν εὐσέλμοις, οὐδ᾽ ἵκεο
Πέργαμα Τροίας.

—**ἐπαυλεῖ** *κτλ.*: *echoes as with the strains of a flute, the winds leading off.*

17. **τῶν ἐπισήμων**: *the notables.*—**τοὺς ἡμιθέους**: cf. Plato *Apol.* 28 c *τῶν ἡμιθέων ὅσοι ἐν Τροίᾳ τετελευτήκασιν* and Hes. *W. & D.* 158 *ἀνδρῶν ἡρώων θεῖον γένος, οἳ καλέονται ἡμίθεοι.*—**ἐκεῖνον μόνον**: as having violated the rights of sanctuary. He was one of the "incurables" (*ἀνιάτως ἔχειν*), cf. Plato

βαρβάρων δὲ Κύρους τε ἀμφοτέρους καὶ τὸν Σκύθην Ἀνάχαρσιν καὶ τὸν Θρᾷκα Ζάμολξιν καὶ Νομᾶν τὸν Ἰταλιώτην, καὶ μὴν καὶ Λυκοῦργον τὸν Λακεδαιμόνιον καὶ Φωκίωνα καὶ Τέλλον τοὺς Ἀθηναίους, καὶ τοὺς σοφοὺς ἄνευ Περιάνδρου. εἶδον δὲ καὶ Σωκράτην τὸν Σωφρονίσκου ἀδολεσχοῦντα μετὰ Νέστορος καὶ Παλαμήδους· περὶ δὲ αὐτὸν ἦσαν Ὑάκινθός τε ὁ Λακεδαιμόνιος καὶ ὁ Θεσπιεὺς Νάρκισσος καὶ Ὕλας καὶ ἄλλοι πολλοὶ καὶ καλοί. καί μοι ἐδόκει ἐρᾶν τοῦ Ὑακίνθου· τὰ πολλὰ γοῦν ἐκεῖνον διήλεγχεν. ἐλέγετο δὲ χαλεπαίνειν αὐτῷ ὁ Ῥαδάμανθυς καὶ ἠπειληκέναι πολλάκις ἐκβαλεῖν αὐτὸν ἐκ τῆς νήσου, ἢν φλυαρῇ καὶ μὴ ἐθέλῃ ἀφεὶς τὴν εἰρωνείαν εὐωχεῖσθαι. Πλάτων δὲ μόνος οὐ παρῆν, ἀλλ' ἐλέγετο αὐτὸς ἐν τῇ ἀναπλασθείσῃ ὑφ' αὑτοῦ πόλει οἰκεῖν χρώμενος τῇ πολιτείᾳ καὶ τοῖς νόμοις οἷς συνέγραψεν.

18 οἱ μέντοι ἀμφ' Ἀρίστιππόν τε καὶ Ἐπίκουρον τὰ πρῶτα παρ' αὐτοῖς ἐφέροντο ἡδεῖς τε ὄντες καὶ κεχαρισμένοι καὶ συμποτικώτατοι. παρῆν δὲ καὶ Αἴσωπος ὁ Φρύξ· τούτῳ δὲ ὅσα καὶ γελωτοποιῷ χρῶνται. Διογένης μέν γε ὁ Σινωπεὺς

Phaedo 113 E. — **Ἀνάχαρσιν**: in Lucian's dialogue Anacharsis and Solon represent barbarian and Greek training respectively. — **Ζάμολξιν**: the Thracians were tricked into deifying him (Hdt. 4, 95). — **Νομᾶν**: i.e. Numa Pompilius; see App. — **Φωκίωνα**: though an anti-jingo, Phocion is admitted to heaven! — **Τέλλον**: see *Char.* 10. — **ἄνευ Περιάνδρου**: a mock concession to conventional opinion. Periander is often left out of the canonical list of the Seven Sages. — **Παλαμήδους**: cf. Plato *Apol.* 41 B. — **Ὑάκινθος** κτλ.: cf. *D. Mort.* 18, 1. — **τὴν εἰρωνείαν**: cf. Plato *Rep.* 337 A Ὦ Ἡράκλεις, αὕτη ἐκείνη ἡ εἰωθυῖα εἰρωνεία Σωκράτους. — **αὐτός**: *alone* (see L. & S. s.v., I, 3). — **ἐν τῇ ἀναπλασθείσῃ** κτλ.: i.e. Plato's Republic; cf. the noble passage (πόλει) τῇ ἐν λόγοις κειμένῃ· ἐπεὶ γῆς γε οὐδαμοῦ οἶμαι αὐτὴν εἶναι 591 A B. In *Philops.* 24 the liar claims that through the pro tempore crevasse he saw Socrates in Elysium, but "Plato he failed to distinguish."

18. **οἱ ἀμφ' Ἀρίστιππον**: originally *the school of Aristippus*, then *Aristippus and his school*, then simply *Aristippus*. So both ἀμφί and περί often in Lucian; cf. § 23, and *Symp.* 29; 36; 37; 42; and especially 43. — **Ἀρίστιππον**: see *Vit. Auct.* 12; for Epicurus, *Vit. Auct.* 19. — **γελωτοποιῷ**: a fixture in the convivial programme; cf. Xen. *Symp.*

τοσοῦτον μετέβαλε τοῦ τρόπου, ὥστε γῆμαι μὲν Λαΐδα τὴν ἑταίραν, ὀρχεῖσθαι δὲ πολλάκις ὑπὸ μέθης ἀνιστάμενον καὶ παροινεῖν. τῶν δὲ Στωικῶν οὐδεὶς παρῆν· ἔτι γὰρ ἐλέγοντο ἀναβαίνειν τὸν τῆς ἀρετῆς ὄρθιον λόφον. ἠκούομεν δὲ καὶ περὶ Χρυσίππου ὅτι οὐ πρότερον αὐτῷ ἐπιβῆναι τῆς νήσου θέμις πρὶν τὸ τέταρτον ἑαυτὸν ἐλλεβορίσῃ. τοὺς δὲ Ἀκαδημαϊκοὺς ἔλεγον ἐθέλειν μὲν ἐλθεῖν, ἐπέχειν δὲ ἔτι καὶ διασκέπτεσθαι· μηδὲ γὰρ αὐτὸ τοῦτό πω καταλαμβάνειν, εἰ καὶ νῆσός τις τοιαύτη ἐστίν. ἄλλως τε καὶ τὴν ἐπὶ τοῦ Ῥαδαμάνθυος, οἶμαι, κρίσιν ἐδεδοίκεσαν, ἅτε καὶ τὸ κριτήριον αὐτοὶ ἀνῃρηκότες. πολλοὺς δὲ αὐτῶν ἔφασκον ὁρμηθέντας ἀκολουθεῖν τοῖς ἀφικνουμένοις, ὑπὸ νωθείας δὲ ἀπολείπεσθαι μὴ καταλαμβάνοντας καὶ ἀναστρέφειν ἐκ μέσης τῆς ὁδοῦ.

19 *οὗτοι μὲν οὖν ἦσαν οἱ ἀξιολογώτατοι τῶν παρόντων. τιμῶσι δὲ μάλιστα τὸν Ἀχιλλέα καὶ μετὰ τοῦτον Θησέα. περὶ δὲ συνουσίας καὶ ἀφροδισίων οὕτω φρονοῦσι· μίσγονται μὲν ἀναφανδὸν πάντων ὁρώντων καὶ γυναιξὶ καὶ ἄρρεσι, καὶ οὐδαμῶς τοῦτο αἰσχρὸν αὐτοῖς δοκεῖ· μόνος δὲ Σωκράτης*

1, 11 ; also Lucian *Symp.* 18, where the jester is brought in between courses and commanded *εἰπεῖν τι ἢ πρᾶξαι γελοῖον, ὡς ἔτι μᾶλλον οἱ συμπόται διαχυθεῖεν.* — **Διογένης**: see *Vit. Auct.* 7. — **τοσοῦτον μετέβαλε . . . ὥστε γῆμαι**: cf. Athen. 588 C–E. Lucian, in his post-Menippean pieces, is never tired of holding up to ridicule the preaching and practice of the Cynics. Cf. *Symp.* 12 ff.; *Peregr.* passim ; *Pisc.* 45, 48, etc. — **τὸν τῆς ἀρετῆς ὄρθιον λόφον**: cf. the "Hill Difficulty" in *Hermot.* 2 *ἡ δ' Ἀρετὴ πάνυ πόρρω κατὰ τὸν Ἡσίοδον οἰκεῖ καὶ ἔστιν ὁ οἶμος ἐπ' αὐτὴν μακρός τε καὶ ὄρθιος καὶ τρηχύς.* Hermotimus, already forty when he began and a student now these twenty years (not the stripling of Pater's chapter xxiv in *Marius the Epicurean*) has only reached the foothills. "It will require," says Lucian, "'other lives' for 'other heights.'" See Simon. 58. — **Χρυσίππου**: see *Vit. Auct.* 21 ff. — **τὸ τέταρτον ἑαυτὸν ἐλλεβορίσῃ**: *Vit. Auct.* 23 (*τρίς*). — **Ἀκαδημαϊκοὺς . . . ἐπέχειν**: for the confusion between the Academics proper and the Sceptics, see note on *Vit. Auct.* 27. — **μηδέ**: for *οὐδέ*. Cf. Introd. 39 (*a*).

19. Σωκράτης: the repetition of this stock story (see Plato's *Symposium* 219 B) means just as little serious malice as the classification of Herodotus and Ctesias with other liars in § 31. —

διώμνυτο ἦ μὴν καθαρῶς πλησιάζειν τοῖς νέοις· καὶ μέντοι πάντες αὐτοῦ ἐπιορκεῖν κατεγίνωσκον· πολλάκις γοῦν ὁ μὲν Ὑάκινθος ἢ ὁ Νάρκισσος ὡμολόγουν, ἐκεῖνος δὲ ἠρνεῖτο. αἱ δὲ γυναῖκές εἰσι πᾶσι κοιναὶ καὶ οὐδεὶς φθονεῖ τῷ πλησίον, ἀλλ᾽ εἰσὶ περὶ τοῦτο μάλιστα Πλατωνικώτατοι· καὶ οἱ παῖδες δὲ παρέχουσι τοῖς βουλομένοις οὐδὲν ἀντιλέγοντες.

20 Οὔπω δὲ δύο ἢ τρεῖς ἡμέραι διεληλύθεσαν, καὶ προσελθὼν ἐγὼ Ὁμήρῳ τῷ ποιητῇ, σχολῆς οὔσης ἀμφοῖν, τά τε ἄλλα ἐπυνθανόμην καὶ ὅθεν εἴη, λέγων τοῦτο μάλιστα παρ᾽ ἡμῖν εἰσέτι νῦν ζητεῖσθαι. ὁ δὲ οὐδ᾽ αὐτὸς μὲν ἀγνοεῖν ἔφασκεν ὡς οἱ μὲν Χῖον, οἱ δὲ Σμυρναῖον, πολλοὶ δὲ καὶ Κολοφώνιον αὐτὸν νομίζουσιν. εἶναι μέντοι γε ἔλεγε Βαβυλώνιος, καὶ παρά γε τοῖς πολίταις οὐχ Ὅμηρος, ἀλλὰ Τιγράνης καλεῖσθαι· ὕστερον δὲ ὁμηρεύσας παρὰ τοῖς Ἕλλησιν ἀλλάξαι τὴν προσηγορίαν. ἔτι δὲ καὶ περὶ τῶν ἀθετουμένων στίχων ἐπηρώτων, εἰ ὑπ᾽ ἐκείνου εἰσὶν ἐγγεγραμμένοι. καὶ ὃς ἔφασκε πάντας αὐτοῦ εἶναι. κατεγίνωσκον οὖν τῶν ἀμφὶ τὸν Ζηνόδοτον καὶ Ἀρίσταρχον γραμματικῶν πολλὴν τὴν ψυχρολογίαν. ἐπεὶ δὲ ταῦτα ἱκανῶς ἀπεκρίνατο, πάλιν αὐτὸν ἠρώτων τί δή ποτε ἀπὸ τῆς Μήνιδος τὴν ἀρχὴν ἐποιήσατο·

Πλατωνικώτατοι: the allusion is to *Rep.* 5, e.g. 468 B and C.

20. **Οὔπω . . . διεληλύθεσαν, καὶ . . .**: parataxis. Cf. Introd. 28 and *Somn.* 1 and 3. — **τά τε ἄλλα . . . εἰσέτι νῦν**: the "Homeric Question" was already an old story by Lucian's time. — **οἱ μὲν Χῖον** *κτλ.*: Lucian apparently follows the epigram of Antipater of Sidon (see Jebb's *Homer*, p. 87):

οἱ μέν σευ Κολοφῶνα τιθηνήτειραν, Ὅμηρε,
οἱ δὲ καλὰν Σμύρναν, οἱ δ' ἐνέπουσι Χίον.

He mentions more of the conventional names, *Encom. Demosth.* 9. — **Βαβυλώνιος**: in *Gall.* 17 we learn from the cock (Pythagoras) that Homer was a Bactrian camel at the time of the Trojan war. — **ἀθετουμένων**: *rejected* as spurious: see Jebb's *Homer*, p. 94, note 2. — **ἀμφὶ τὸν Ζηνόδοτον καὶ Ἀρίσταρχον**: for the Alexandrine recensions (*διορθώσεις*) by Zenodotus (first librarian at Alexandria, 280 B.C.) and Aristarchus (flor. ca. 160 B.C., cf. Lucian *Jud. Vocal.* 1 and 8) see Jebb's

καὶ ὃς εἶπεν οὕτως ἐπελθεῖν αὐτῷ μηδὲν ἐπιτηδεύσαντι. καὶ μὴν κἀκεῖνο ἐπεθύμουν εἰδέναι, εἰ προτέραν ἔγραψε τὴν Ὀδύσσειαν τῆς Ἰλιάδος, ὡς οἱ πολλοί φασιν· ὁ δὲ ἠρνεῖτο. ὅτι μὲν γὰρ οὐδὲ τυφλὸς ἦν, ὃ καὶ αὐτὸ περὶ αὐτοῦ λέγουσιν, αὐτίκα ἠπιστάμην· ἑώρα γάρ, ὥστε οὐδὲ πυνθάνεσθαι ἐδεόμην. πολλάκις δὲ καὶ ἄλλοτε τοῦτο ἐποίουν, εἴ ποτε αὐτὸν σχολὴν ἄγοντα ἑώρων· προσιὼν γάρ τι ἐπυνθανόμην αὐτοῦ, καὶ ὃς προθύμως πάλιν ἀπεκρίνατο, καὶ μάλιστα μετὰ τὴν δίκην, ἐπειδὴ ἐκράτησεν· ἦν γάρ τις γραφὴ κατ᾽ αὐτοῦ ἐπενηνεγμένη ὕβρεως ὑπὸ Θερσίτου ἐφ᾽ οἷς αὐτὸν ἐν τῇ ποιήσει ἔσκωψε, καὶ ἐνίκησεν Ὅμηρος Ὀδυσσέως συναγο-

21 ρεύοντος. κατὰ δὲ τοὺς αὐτοὺς χρόνους ἀφίκετο καὶ Πυθαγόρας ὁ Σάμιος ἑπτάκις ἀλλαγεὶς καὶ ἐν τοσούτοις ζῴοις βιοτεύσας καὶ ἐκτελέσας τῆς ψυχῆς τὰς περιόδους. ἦν δὲ χρυσοῦς ὅλον τὸ δεξιὸν ἡμίτομον. καὶ ἐκρίθη μὲν συμπολιτεύσασθαι αὐτοῖς, ἐνεδοιάζετο δὲ ἔτι πότερον Πυθαγόραν ἢ Εὔφορβον χρὴ αὐτὸν ὀνομάζειν. ὁ μέντοι Ἐμπεδοκλῆς ἦλθε μὲν καὶ οὗτος, περίεφθος καὶ τὸ σῶμα ὅλον ὠπτημένος· οὐ μὴν παρεδέχθη καίτοι πολλὰ ἱκετεύων.

Homer, 92, 93. — **μηδὲν ἐπιτηδεύσαντι**: cf. Introd. 39 (*e*). — **προτέραν**: Lucian ignores the Chorizontes (Jebb p. 103). — **ἑώρα**: *he was using his eyes*; cf. ὁρᾷ A 25. For the emendation to ἑώρων see App. — **καὶ ὅς**: L. & S. s.v. Cf. §20, line 256. — **δίκην . . . γραφὴ ὕβρεως**: cf. Dem. 524, 22 γραφὴν ὕβρεως (*criminal prosecution for assault*) καὶ δίκην κακηγορίας (*action for defamation*) ἰδίαν φεύξεται. — **Ὀδυσσέως**: the *shifty* (πολύτροπος) Odysseus was cut out for a criminal lawyer.

21. κατὰ τοὺς αὐτοὺς χρόνους: i.e. (roughly speaking) seven hundred years from Pythagoras to Lucian. — **ἑπτάκις . . . περιόδους**: calculated on the basis of Plato *Rep.* 615 A τοῦτο δ᾽ εἶναι κατὰ ἑκατονταετηρίδα ἑκάστην, ὡς βίου ὄντος τοσούτου τοῦ ἀνθρωπίνου. In *Gall.* 17 ff. the chronology of his transmigrations is not reckoned so carefully: after six human incarnations he becomes a horse, a jackdaw, a frog, then ἄλλα μυρία, and finally time and again a cock. — **ὅλον τὸ δεξιὸν ἡμίτομον**: his golden thigh (cf. *Vit. Auct.* 6) and accrued interest. — **ἐνεδοιάζετο**: in *Gall.* 20 he prefers the "rooster" avatar. — **Ἐμπεδοκλῆς . . . ὠπτημένος**: cf. *D. Mort.* 20, 4; *Peregr.* 1; *Pisc.* 2. — **καίτοι**: for καίπερ. Introd. 27.

22 Προϊόντος δὲ τοῦ χρόνου ἐνέστη ὁ ἀγὼν ὁ παρ' αὐτοῖς τὰ Θανατούσια. ἠγωνοθέτει δὲ Ἀχιλλεὺς τὸ πέμπτον καὶ Θησεὺς τὸ ἕβδομον. τὰ μὲν οὖν ἄλλα μακρὸν ἂν εἴη λέγειν· τὰ δὲ κεφάλαια τῶν πραχθέντων διηγήσομαι. πάλην μὲν ἐνίκησε Κᾶρος ὁ ἀφ' Ἡρακλέους Ὀδυσσέα περὶ τοῦ στεφάνου καταγωνισάμενος· πυγμὴ δὲ ἴση ἐγένετο Ἀρείου τε τοῦ Αἰγυπτίου, ὃς ἐν Κορίνθῳ τέθαπται, καὶ Ἐπειοῦ ἀλλήλοις συνελθόντων. παγκρατίου δὲ οὐ τίθεται ἆθλα παρ' αὐτοῖς. τὸν μέντοι δρόμον οὐκέτι μέμνημαι ὅστις ἐνίκησε. ποιητῶν δὲ τῇ μὲν ἀληθείᾳ παρὰ πολὺ ἐκράτει Ὅμηρος, ἐνίκησε δὲ ὅμως Ἡσίοδος. τὰ δὲ ἆθλα ἦν ἅπασι στέφανος πλακεὶς ἐκ πτερῶν ταωνείων.

23 Ἄρτι δὲ τοῦ ἀγῶνος συντετελεσμένου ἠγγέλλοντο οἱ ἐν τῷ χώρῳ τῶν ἀσεβῶν κολαζόμενοι ἀπορρήξαντες τὰ δεσμὰ καὶ τῆς φρουρᾶς ἐπικρατήσαντες ἐλαύνειν ἐπὶ τὴν νῆσον· ἡγεῖσθαι δὲ αὐτῶν Φάλαρίν τε τὸν Ἀκραγαντῖνον καὶ Βούσιριν τὸν Αἰγύπτιον καὶ Διομήδην τὸν Θρᾷκα καὶ τοὺς περὶ Σκείρωνα καὶ Πιτυοκάμπτην. ὡς δὲ ταῦτα ἤκουσεν ὁ Ῥαδάμανθυς, ἐκτάττει τοὺς ἥρωας ἐπὶ τῆς ᾐόνος· ἡγεῖτο δὲ

22. **τὰ Θανατούσια**: *Mortalia*, cf. Κρόνια *Saturnalia*. — **Κᾶρος**: unknown unless it be the Roman poet in Ovid *Epist. ex Ponto* 4, 16. The juxtaposition of incongruous pairs is apparently the motive. — **Ἡσίοδος**: this was comparatively modern. Plutarch had told of Hesiod winning a prize unfairly from Homer, and the *Certamen Homeri et Hesiodi* was written just before Lucian's time. — **ταωνείων**: for the conventional metaphor cf. Aesop *Fab.* 397 b where the peacock boasts to the crane: ἐγὼ μὲν χρυσὸν καὶ πορφύραν ἐνδέδυμαι, σὺ δὲ οὐδὲν καλὸν φέρεις ἐν πτεροῖς. The same suggestion seems obvious in Strattis *Maced.* 7 and in Ar. *Ach.* 63 (but see scholiast ad loc.):

ποίου βασιλέως; ἄχθομαι 'γὼ πρέσβεσι
καὶ τοῖς ταῷσι τοῖς τ' ἀλαζονεύμασιν.

23. **ἀπορρήξαντες τὰ δεσμά**: cf., Introd. p. xxiv, Boileau's *Les Héros de roman*. — **Φάλαριν**: among Lucian's writings are two προλαλιαί in defence of the tyrant Phalaris. So Isocrates, or. 11, had whitewashed Busiris, the next on this list. See Bentley's famous dissertation on the *Epistles of Phalaris*. — **Σκείρωνα**: the Corinth Railroad now runs along the Skironian Cliffs, see Baedeker's *Greece*, p. 145. —

Θησεύς τε καὶ Ἀχιλλεὺς καὶ Αἴας ὁ Τελαμώνιος ἤδη σωφρονῶν· καὶ συμμίξαντες ἐμάχοντο καὶ ἐνίκησαν οἱ ἥρωες Ἀχιλλέως τὰ πλεῖστα κατορθώσαντος. ἠρίστευσε δὲ καὶ Σωκράτης ἐπὶ τῷ δεξιῷ ταχθεὶς πολὺ μᾶλλον ἢ ὅτε ζῶν ἐπὶ Δηλίῳ ἐμάχετο. προσιόντων γὰρ τῶν πολεμίων οὐκ ἔφυγε καὶ τὸ πρόσωπον ἄτρεπτος ἦν· ἐφ᾽ οἷς καὶ ὕστερον ἐξῃρέθη αὐτῷ ἀριστεῖον, καλός τε καὶ μέγιστος παράδεισος ἐν τῷ προαστείῳ, ἔνθα καὶ συγκαλῶν τοὺς ἑταίρους διελέγετο
24 *Νεκρακαδημίαν τὸν τόπον προσαγορεύσας. συλλαβόντες οὖν τοὺς νενικημένους καὶ δήσαντες αὖθις ἀπέπεμψαν ἔτι μᾶλλον κολασθησομένους. ἔγραψε δὲ καὶ ταύτην τὴν μάχην Ὅμηρος καὶ ἀπιόντι μοι ἔδωκε τὰ βιβλία κομίζειν τοῖς παρ᾽ ἡμῖν ἀνθρώποις· ἀλλ᾽ ὕστερον καὶ ταῦτα μετὰ τῶν ἄλλων ἀπωλέσαμεν. ἦν δὲ ἡ ἀρχὴ τοῦ ποιήματος αὕτη,*

νῦν δέ μοι ἔννεπε, Μοῦσα, μάχην νεκύων ἡρώων.

τότε δ᾽ οὖν κυάμους ἑψήσαντες, ὥσπερ παρ᾽ αὐτοῖς νόμος ἐπειδὰν τὸν πόλεμον κατορθώσωσιν, εἱστιῶντο τὰ ἐπινίκια καὶ ἑορτὴν μεγάλην ἦγον· μόνος δὲ ταύτης οὐ μετεῖχε Πυθαγόρας, ἀλλ᾽ ἄσιτος πόρρω ἐκαθέζετο μυσαττόμενος τὴν κυαμοφαγίαν.

25 *Ἤδη δὲ μηνῶν ἓξ διεληλυθότων περὶ μεσοῦντα τὸν ἕβδομον νεώτερα συνίστατο πράγματα· ὁ Κινύρας ὁ τοῦ Σκινθάρου παῖς μέγας τε ὢν καὶ καλὸς ἤρα πολὺν χρόνον ἤδη τῆς Ἑλένης, καὶ αὕτη δὲ οὐκ ἀφανὴς ἦν ἐπιμανῶς ἀγαπῶσα τὸν*

ἤδη σωφρονῶν: see § 7. — **τὰ πλεῖστα κατορθώσαντος**: cf. *Il.* 1, 165–166 *ἀλλὰ τὸ μὲν πλεῖον πολυάικος πολέμοιο | χεῖρες ἐμαὶ διέπουσ᾽*. — **ἠρίστευσε**: cf. Plato *Symp.* 221 A B. Lucian, as usual, outdoes his original. — **Νεκρακαδημίαν**: Socrates (not Plato, see § 17) is head master of this *Deadhead Academy* — tuition free.

24. **καὶ ταύτην**: i.e. as well as those in the *Iliad*. — **ἀπωλέσαμεν**: see § 47. — **νῦν δέ μοι** *κτλ.*: parody on *Od.* 1, 1:

Sing to me, Muse, now sing of the combat of
corpses heroic.

— **μυσαττόμενος**: cf. *Vit. Auct.* 6. — **τὴν κυαμοφαγίαν**: *this bean-baiting.*

25. **νεώτερα πράγματα**: novae res,

νεανίσκον· πολλάκις γοῦν καὶ διένευον ἀλλήλοις ἐν τῷ συμποσίῳ καὶ προὔπινον καὶ μόνοι ἐξανιστάμενοι ἐπλανῶντο περὶ τὴν ὕλην. καὶ δή ποτε ὑπὸ ἔρωτος καὶ ἀμηχανίας ἐβουλεύσατο ὁ Κινύρας ἁρπάσας τὴν Ἑλένην φυγεῖν. ἐδόκει δὲ κἀκείνῃ ταῦτα, οἴχεσθαι ἀπιόντας ἔς τινα τῶν ἐπικειμένων νήσων, ἤτοι ἐς τὴν Φελλὼ ἢ ἐς τὴν Τυρόεσσαν. συνωμότας δὲ πάλαι προσειλήφεσαν τρεῖς τῶν ἑταίρων τῶν ἐμῶν τοὺς θρασυτάτους. τῷ μέντοι πατρὶ ταῦτα οὐκ ἐμήνυσεν· ἠπίστατο γὰρ ὑπ᾽ αὐτοῦ κωλυθησόμενος. ὡς δὲ ἐδόκει αὐτοῖς, ἐτέλουν τὴν ἐπιβουλήν. καὶ ἐπειδὴ νὺξ ἐγένετο — ἐγὼ μὲν οὐ παρήμην· ἐτύγχανον γὰρ ἐν τῷ συμποσίῳ κοιμώμενος — οἱ δὲ λαθόντες τοὺς ἄλλους ἀναλα-
26 βόντες τὴν Ἑλένην ὑπὸ σπουδῆς ἀνήχθησαν. περὶ δὲ τὸ μεσονύκτιον ἀνεγρόμενος ὁ Μενέλεως ἐπεὶ ἔμαθε τὴν εὐνὴν κενὴν τῆς γυναικός, βοήν τε ἵστη καὶ τὸν ἀδελφὸν παραλαβὼν ᾔει πρὸς τὸν βασιλέα τὸν Ῥαδάμανθυν. ἡμέρας δὲ ὑποφαινούσης ἔλεγον οἱ σκοποὶ καθορᾶν τὴν ναῦν οὐ πολὺ ἀπέχουσαν· οὕτω δὴ ἐμβιβάσας ὁ Ῥαδάμανθυς πεντήκοντα τῶν ἡρώων εἰς ναῦν μονόξυλον ἀσφοδελίνην παρήγγειλε διώκειν· οἱ δὲ ὑπὸ προθυμίας ἐλαύνοντες περὶ μεσημβρίαν καταλαμβάνουσιν αὐτοὺς ἄρτι ἐς τὸν γαλακτώδη ὠκεανὸν ἐμβαίνοντας πλησίον τῆς Τυροέσσης· παρὰ τοσοῦτον ἦλθον διαδρᾶναι· καὶ ἀναδησάμενοι τὴν ναῦν ἁλύσει ῥοδίνῃ κατέπλεον. ἡ μὲν οὖν Ἑλένη ἐδάκρυέ τε καὶ ᾐσχύνετο καὶ ἐνεκαλύπτετο, τοὺς δὲ ἀμφὶ τὸν Κινύραν ἀνακρίνας πρότερον

cf. L. & S. — **ἐπικειμένων**: *adjacent*. The *Isle of Cork* in § 5 was described as πόρρωθεν and the *Isle of Cheesea* (§ 3) was more distant. — **παρήμην**: see Introd. 18 (*b*). Cf. Schmid, I, 231.

26. **κενήν**: see Introd. 23 (*b*). — **βοὴν ἵστη**: Menelaus (βοὴν ἀγαθός) had not yet acquired the Hades hoarseness. — **ἀδελφόν**: Agamemnon returns his brother's devotion (*Il.* 2, 409). — **μονόξυλον ἀσφοδελίνην**: *a dug-out* (cf. Xen. *Anab.* 5, 4, 11) *made from a single trunk of asphodel*. The asphodel plants are here good-sized trees; so in the *Isle of Dreams* (§ 33) the poppies are tall trees. — **κατέπλεον**: *sailed*

ὁ Ῥαδάμανθυς, εἴ τινες καὶ ἄλλοι αὐτοῖς συνίσασιν, ὡς οὐδένα εἶπον, ἐκ τῶν αἰδοίων δήσας ἀπέπεμψεν ἐς τὸν τῶν
27 ἀσεβῶν χῶρον μαλάχῃ πρότερον μαστιγωθέντας. ἐψηφίσαντο δὲ καὶ ἡμᾶς ἐμπροθέσμους ἐκπέμπειν ἐκ τῆς νήσου τὴν ἐπιοῦσαν ἡμέραν μόνην ἐπιμείναντας. ἐνταῦθα δὴ ἐγὼ ἐποτνιώμην τε καὶ ἐδάκρυον οἷα ἔμελλον ἀγαθὰ καταλιπὼν αὖθις πλανηθήσεσθαι. αὐτοὶ μέντοι παρεμυθοῦντο λέγοντες οὐ πολλῶν ἐτῶν ἀφίξεσθαι πάλιν ὡς αὐτούς, καί μοι ἤδη θρόνον τε καὶ κλισίαν ἐς τοὐπιὸν ἐπεδείκνυσαν πλησίον τῶν ἀρίστων. ἐγὼ δὲ προσελθὼν τῷ Ῥαδαμάνθυι πολλὰ ἱκέτευον εἰπεῖν τὰ μέλλοντα καὶ ὑποδεῖξαί μοι τὸν πλοῦν. ὃ δὲ ἔφασκεν ἀφίξεσθαι μὲν ἐς τὴν πατρίδα πολλὰ πρότερον πλανηθέντα καὶ κινδυνεύσαντα, τὸν δὲ χρόνον οὐκέτι τῆς ἐπανόδου προσθεῖναι ἠθέλησεν· ἀλλὰ δὴ καὶ δεικνὺς τὰς πλησίον νήσους—ἐφαίνοντο δὲ πέντε τὸν ἀριθμόν, ἄλλη δὲ ἕκτη πόρρωθεν—ταύτας μὲν εἶναι ἔφασκε τὰς τῶν ἀσεβῶν, τὰς πλησίον. Ἀφ᾽ ὧν, ἔφη, ἤδη τὸ πολὺ πῦρ ὁρᾷς καιόμενον, ἕκτη δὲ ἐκείνη τῶν ὀνείρων ἡ πόλις· μετὰ ταύτην δὲ ἡ τῆς Καλυψοῦς νῆσος, ἀλλ᾽ οὐδέπω σοι φαίνεται. ἐπειδὰν δὲ ταύτας παραπλεύσῃς, τότε δὴ ἀφίξῃ ἐς τὴν μεγάλην ἤπειρον τὴν ἐναντίαν τῇ ὑφ᾽ ὑμῶν κατοικουμένῃ· ἐνταῦθα δὴ πολλὰ παθὼν καὶ ποικίλα ἔθνη διελθὼν καὶ ἀνθρώποις ἀμίκτοις

home.—**μαλάχῃ**: the mallow was not normally prescribed for external use, but cf. *Fugit.* 33.

27. **ἐμπροθέσμους**: only six and a half of the seven months allowed (see § 25) had elapsed.—**ἐποτνιώμην**: late Greek, but see L. & S.—**αὐτοί**: (they) *personally.* But both here and in § 12 nearly equivalent to a personal pronoun.—**οὐ πολλῶν ἐτῶν**: Lucian was no longer young (Bolderman, *Stud. Lucian.* p. 134).—**θρόνον τε καὶ κλισίαν**: the θρόνος by way of προεδρία at the Olympic Ecclesia and a dining-couch (κλισία) at the celestial Symposium.—**τὰ μέλλοντα**: still in parody of the *Odyssey*, cf. Circe's instructions *Od.* 12, 37 ff.—**ἤπειρον τὴν ἐναντίαν**: called (§ 47) τὴν ἀντιπέραν. Sometimes vaguely described as the Island of Atlantis. For the continent "outside this world (i.e. Europe, Asia, and Libya)," cf. Aelian *Var. Hist.* 3, 18.—**ἀμίκτοις**: *unsociable.* Cf. Eur. *Cycl.* 429 ἄμικτον ἄνδρα.

ἐπιδημήσας χρόνῳ ποτὲ ἥξεις εἰς τὴν ἑτέραν ἤπειρον. το-
28 σαῦτα εἶπε. καὶ ἀνασπάσας ἀπὸ τῆς γῆς μαλάχης ῥίζαν
ὤρεξέ μοι, ταύτῃ κελεύσας ἐν τοῖς μεγίστοις κινδύνοις προσ-
εύχεσθαι· παρῄνεσε δὲ καὶ εἴ ποτε ἀφικοίμην ἐς τήνδε τὴν
γῆν, μήτε πῦρ μαχαίρᾳ σκαλεύειν μήτε θέρμους ἐσθίειν μήτε
παιδὶ ὑπὲρ τὰ ὀκτωκαίδεκα ἔτη πλησιάζειν· τούτων γὰρ ἂν
μεμνημένον ἐλπίδας ἔχειν τῆς εἰς τὴν νῆσον ἀφίξεως. τότε
μὲν οὖν τὰ περὶ τὸν πλοῦν παρεσκευαζόμην, καὶ ἐπεὶ καιρὸς
ἦν, συνειστιώμην αὐτοῖς. τῇ δὲ ἐπιούσῃ προσελθὼν πρὸς
Ὅμηρον τὸν ποιητὴν ἐδεήθην αὐτοῦ ποιῆσαί μοι δίστιχον
ἐπίγραμμα· καὶ ἐπειδὴ ἐποίησε, στήλην βηρύλλου λίθου
ἀναστήσας ἐπέγραψα πρὸς τῷ λιμένι. τὸ δὲ ἐπίγραμμα ἦν
τοιόνδε·

> Λουκιανὸς τάδε πάντα φίλος μακάρεσσι θεοῖσιν
> εἶδέ τε καὶ πάλιν ἦλθεν ἑὴν ἐς πατρίδα γαῖαν.

29 μείνας δὲ κἀκείνην τὴν ἡμέραν τῆς ἐπιούσης ἀνηγόμην τῶν ἡρώων παραπεμπόντων. ἔνθα μοι καὶ Ὀδυσσεὺς προσελθὼν λάθρᾳ τῆς Πηνελόπης δίδωσιν ἐπιστολὴν εἰς Ὠγυγίαν τὴν νῆσον Καλυψοῖ κομίζειν. συνέπεμψε δέ μοι ὁ Ῥαδάμανθυς τὸν πορθμέα Ναύπλιον, ἵν' εἰ καταχθείημεν ἐς τὰς νήσους, μηδεὶς ἡμᾶς συλλάβῃ ἅτε κατ' ἄλλην ἐμπορίαν καταπλέοντας. ἐπεὶ δὲ τὸν εὐώδη ἀέρα προϊόντες παρεληλύθειμεν, αὐτίκα ἡμᾶς ὀσμή τε δεινὴ διεδέχετο οἷον ἀσφάλτου καὶ θείου καὶ πίττης ἅμα καιομένων, καὶ κνῖσα δὲ πονηρὰ καὶ ἀφόρητος ὥσπερ ἀπ' ἀνθρώπων ὀπτωμένων, καὶ ὁ ἀὴρ

28. **Λουκιανός** (scan yā) κτλ.:

> Lucian, the friend of the gods that are blessed for ever and ever,
> All this beheld and return'd to his country, the land of his fathers.

29. **Ὠγυγίαν**: this lay next beyond (§ 27) the Islands of the Damned. — **Ναύπλιον**: for his legendary connection with modern Nauplia see Baedeker's *Greece*. — **κνῖσα . . . ὀπτωμένων**: so Zeus (*Fugit.* 1) complains as he recalls the perfume of Peregrinus roasting: *πολλὴν τὴν ἀηδίαν μέμνημαι ἀνασχόμενος τότε ὑπὸ κνίσης πονηρᾶς, οἵαν εἰκὸς ἀποφέρεσθαι ὀπτωμένων ἀνθρωπείων σωμάτων.*

ζοφερὸς καὶ ὁμιχλώδης, καὶ κατέσταζεν ἐξ αὐτοῦ δρόσος πιττίνη· ἠκούομεν δὲ καὶ μαστίγων ψόφον καὶ οἰμωγὴν
30 ἀνθρώπων πολλῶν. ταῖς μὲν οὖν ἄλλαις οὐ προσέσχομεν, ᾗ δὲ ἐπέβημεν, τοιάδε ἦν· κύκλῳ μὲν πᾶσα κρημνώδης καὶ ἀπόξυρος, πέτραις καὶ τραχῶσι κατεσκληκυῖα. δένδρον δ' οὐδὲν οὐδὲ ὕδωρ ἐνῆν· ἀνερπύσαντες δὲ ὅμως κατὰ τοὺς κρημνοὺς προῄειμεν διά τινος ἀκανθώδους καὶ σκολόπων μεστῆς ἀτραποῦ, πολλὴν ἀμορφίαν τῆς χώρας ἐχούσης. ἐλθόντες δὲ ἐπὶ τὴν εἱρκτὴν καὶ τὸ Κολαστήριον πρῶτα μὲν τὴν φύσιν τοῦ τόπου ἐθαυμάζομεν· τὸ μὲν γὰρ ἔδαφος αὐτὸ μαχαίραις καὶ σκόλοψι πάντη ἐξηνθήκει, κύκλῳ δὲ ποταμοὶ περιέρρεον, ὁ μὲν βορβόρου, ὁ δὲ δεύτερος αἵματος, ὁ δὲ ἔνδον πυρός, πάνυ μέγας οὗτος καὶ ἀπέρατος, καὶ ἔρρει ὥσπερ ὕδωρ καὶ ἐκυματοῦτο ὥσπερ θάλαττα, καὶ ἰχθῦς δὲ εἶχε πολλούς, τοὺς μὲν δαλοῖς προσεοικότας, τοὺς δὲ μικροὺς ἄνθραξι πεπυρωμένοις, ἐκάλουν δὲ αὐτοὺς λυχνίσκους.
31 εἴσοδος δὲ μία στενὴ διὰ πάντων ἦν, καὶ πυλωρὸς ἐφειστήκει Τίμων ὁ Ἀθηναῖος. παρελθόντες δὲ ὅμως τοῦ Ναυπλίου καθηγουμένου ἑωρῶμεν κολαζομένους πολλοὺς μὲν βασιλέας, πολλοὺς δὲ καὶ ἰδιώτας, ὧν ἐνίους καὶ ἐγνωρίζομεν· εἴδομεν

30. **ᾗ δὲ**: sc. *νήσῳ*. — **τραχῶσι**: *stony tracts.* Cf. *Tox.* 49 *μέχρι τοῦ τραχῶνος νέμειν.* — **κατὰ τοὺς κρημνοὺς**: *at the crags.* — **ἀκανθώδους . . . ἀτραποῦ**: cf. Plato *Rep.* 616 A, where the fiery demons card Ardiaeus and the other sinners on the thorn-bushes by the wayside: *εἷλκον παρὰ τὴν ὁδὸν ἐκτὸς ἐπ' ἀσπαλάθων κνάπτοντες.* Cf. the context in the *Republic* l.c., and also the *Phaedo*, for the physical geography of the Greek hell. — **Κολαστήριον**: Lucian gives with much relish the stock description of this House of Correction in *Men.* 14, *μαστίγων τε γὰρ ὁμοῦ ψόφος ἠκούετο καὶ οἰμωγὴ τῶν ἐπὶ τοῦ πυρὸς ὀπτωμένων καὶ στρέβλαι καὶ κύφωνες καὶ τρόχοι, καὶ ἡ Χίμαιρα ἐσπάραττε καὶ ὁ Κέρβερος ἐδάρδαπτεν κτλ.* — **ἐξηνθήκει**: *was in full bloom.* The plpf. (see Chabert p. 188; cf. Schmid, I, 240) is redundant, as the present itself denotes a state. In *Pisc.* 6 the verb is constr. with cogn. acc. — **ὁ μὲν βορβόρου**: cf. Plato *Phaedo* c. 60. — **λυχνίσκους**: *lampkins.*

31. **Τίμων**: see Lucian's dialogue *Timon* for the previous career of this human Cerberus. — **ὅμως**: i.e. even with a gatekeeper like that! — **ἐγνωρίζομεν**:

δὲ καὶ τὸν Κινύραν καπνῷ ὑποτυφόμενον ἐκ τῶν αἰδοίων
ἀπηρτημένον. προσετίθεσαν δὲ οἱ περιηγηταὶ καὶ τοὺς
ἑκάστων βίους καὶ τὰς αἰτίας ἐφ᾽ αἷς κολάζονται· καὶ μεγί-
στας ἁπασῶν τιμωρίας ὑπέμενον οἱ ψευσάμενοί τι παρὰ τὸν
βίον καὶ οἱ μὴ τἀληθῆ συγγεγραφότες, ἐν οἷς καὶ Κτησίας
ὁ Κνίδιος ἦν καὶ Ἡρόδοτος καὶ ἄλλοι πολλοί. τούτους οὖν
ὁρῶν ἐγὼ χρηστὰς εἶχον εἰς τοὐπιὸν τὰς ἐλπίδας· οὐδὲν γὰρ
32 ἐμαυτῷ ψεῦδος εἰπόντι συνηπιστάμην. ταχέως δ᾽ οὖν ἀνα-
στρέψας ἐπὶ τὴν ναῦν — οὐδὲ γὰρ ἠδυνάμην φέρειν τὴν ὄψιν
— ἀσπασάμενος τὸν Ναύπλιον ἀπέπλευσα· καὶ μετ᾽ ὀλίγον
ἐφαίνετο πλησίον ἡ τῶν ὀνείρων νῆσος, ἀμυδρὰ καὶ ἀσαφὴς
ἰδεῖν· ἔπασχε δὲ καὶ αὐτὴ τοῖς ὀνείροις τι παραπλήσιον·
ὑπεχώρει γὰρ προσιόντων ἡμῶν καὶ ὑπέφευγε καὶ πορρω-
τέρω ὑπέβαινε. καταλαβόντες δέ ποτε αὐτὴν καὶ ἐσπλεύ-
σαντες ἐς τὸν Ὕπνου Λιμένα προσαγορευόμενον πλησίον
τῶν πυλῶν τῶν ἐλεφαντίνων, ᾗ τὸ τοῦ Ἀλεκτρυόνος ἱερόν
ἐστι, περὶ δείλην ὀψίαν ἀπεβαίνομεν, παρελθόντες δὲ ἐς τὴν
πόλιν πολλοὺς ὀνείρους καὶ ποικίλους ἑωρῶμεν. πρῶτον δὲ
βούλομαι περὶ τῆς πόλεως εἰπεῖν, ἐπεὶ μηδὲ ἄλλῳ τινὶ
γέγραπται περὶ αὐτῆς, ὃς δὲ καὶ μόνος ἐπεμνήσθη Ὅμηρος,
33 οὐ πάνυ ἀκριβῶς συνέγραψε. κύκλῳ μὲν περὶ πᾶσαν αὐτὴν

see details in *Men.* l.c. and cf. the account of the tyrant Ardiaeus recognized by Er (Plato *Rep.* 615 c); so Dante, (*Inferno*, passim), pays off many an old score. — **οἱ περιηγηταί**: for these local ciceroni see *Char.* 22 and 1 (note) and *Philops.* 4. — **τὰς αἰτίας** κτλ.: so the demons, *Rep.* 616 A, announced *ὧν ἕνεκά τε καὶ εἰς ὅ τι ἐμπεσούμενοι ἄγοιντο*. — **οἱ ψευσάμενοι**: in A 2–4 Lucian gives his views on lying historians, citing Odysseus as the very father and teacher of lies.

32. Ὕπνου Λιμένα: *Sleephaven.* — **τῶν ἐλεφαντίνων**: note the particularizing order. Lucian wishes to be perfectly fair, i.e. *not* the gates of horn (*Od.* 19, 562). — **τὸ τοῦ Ἀλεκτρυόνος ἱερόν**: *St. Rooster's.* The cock, as we learn from Lucian's Ἀλεκτρυών (20), was no mean bird. He was the favorite avatar of Pythagoras, and Socrates (*Phaedo* sub fin.), passing to the bright dawn — or the dreamless sleep — of eternity, bids offer a cock to Asklepius. — **ἐπεὶ μηδέ**: for *οὐδέ*. See Introd. 39 (c).

ὕλη ἀνέστηκε, τὰ δένδρα δέ ἐστι μήκωνες ὑψηλαὶ καὶ μανδραγόραι καὶ ἐπ' αὐτῶν πολύ τι πλῆθος νυκτερίδων· τοῦτο γὰρ μόνον ἐν τῇ νήσῳ γίνεται ὄρνεον. ποταμὸς δὲ παραρρεῖ πλησίον ὁ ὑπ' αὐτῶν καλούμενος Νυκτίπορος, καὶ πηγαὶ δύο παρὰ τὰς πύλας· ὀνόματα καὶ ταύταις, τῇ μὲν Νήγρετος, τῇ δὲ Παννυχία. ὁ περίβολος δὲ τῆς πόλεως ὑψηλός τε καὶ ποικίλος, ἴριδι τὴν χρόαν ὁμοιότατος. πύλαι μέντοι ἔπεισιν οὐ δύο, καθάπερ Ὅμηρος εἴρηκεν, ἀλλὰ τέτταρες, δύο μὲν πρὸς τὸ τῆς Βλακείας πεδίον ἀποβλέπουσαι, ἡ μὲν σιδηρᾶ, ἡ δὲ ἐκ κεράμου πεποιημένη, καθ' ἃς ἐλέγοντο ἀποδημεῖν αὐτῶν οἵ τε φοβεροὶ καὶ φονικοὶ καὶ ἀπηνεῖς, δύο δὲ πρὸς τὸν λιμένα καὶ τὴν θάλατταν, ἡ μὲν κερατίνη, καθ' ἣν ἡμεῖς παρήλθομεν, ἡ δὲ ἐλεφαντίνη. εἰσιόντι δὲ ἐς τὴν πόλιν ἐν δεξιᾷ μέν ἐστι τὸ Νυκτῷον· σέβουσι γὰρ θεῶν ταύτην μάλιστα καὶ τὸν Ἀλεκτρυόνα· ἐκείνῳ δὲ πλησίον τοῦ λιμένος τὸ ἱερὸν πεποίηται. ἐν ἀριστερᾷ δὲ τὰ τοῦ Ὕπνου βασίλεια. οὗτος γὰρ δὴ ἄρχει παρ' αὐτοῖς σατράπας δύο καὶ ὑπάρχους πεποιημένος, Ταραξίωνά τε τὸν Ματαιογένους καὶ Πλουτοκλέα τὸν Φαντασίωνος. ἐν μέσῃ δὲ τῇ ἀγορᾷ πηγή τίς ἐστιν, ἣν καλοῦσι Καρεῶτιν· καὶ πλησίον ναοὶ δύο, Ἀπάτης καὶ Ἀληθείας· ἔνθα καὶ τὸ ἄδυτόν ἐστιν αὐτοῖς

33. μήκωνες: (*μήκωνος*) *ὄπιον* is *opium*. For this and *μανδραγόραι* cf. Shakspere, Othello, iii, 3 (cited by Jerram): "Not poppy, nor mandragora . . . shall ever medicine thee to that sweet sleep." — **ὄρνεον**: the reversible bat — now mouse, now bird — was a time-honored zoölogical illustration. — **Νυκτίπορος**: *Noxford*. For accent cf. *Βόσπορος* (*Oxford*) and *ναυσίπορος*. — **Νήγρετος**: *Never-stir*. — **Παννυχία**: *Make-a-night-of-it*. — **Βλακείας**: *Sloth-shire*. — **ἡ μὲν σιδηρᾶ**: the "golden gates" (*Gall.* 6) are not provided for here. — **καθ' ἣν ἡμεῖς**: to reiterate the veracity of his tales. Cf. the Homeric (*Od.* 19, 562 ff.) play upon *κέρας* — *κραίνω* and *ἐλέφας* — *ἐλεφαίρομαι*,

οἱ δὲ διὰ ξεστῶν κεράων ἔλθωσι θύραζε,
οἵ ῥ' ἔτυμα κραίνουσι, βρότων ὅτε κέν τις ἴδηται.

— **Νυκτῷον**: *Nocteum*, vid. supra on § 22. — **Ταραξίωνα**: these thinly disguised derivatives are like the tags in *Pilgrim's Progress* ("Mr. Ready-to-halt"

καὶ τὸ μαντεῖον, οὗ προειστήκει προφητεύων Ἀντιφῶν ὁ τῶν ὀνείρων ὑποκριτής, ταύτης παρὰ τοῦ Ὕπνου λαχὼν τῆς
34 τιμῆς. αὐτῶν μέντοι τῶν ὀνείρων οὔτε φύσις οὔτε ἰδέα ἡ αὐτή. ἀλλ' οἳ μὲν μακροί τε ἦσαν καὶ μαλακοὶ καὶ καλοὶ καὶ εὐειδεῖς, οἳ δὲ σκληροὶ καὶ μικροὶ καὶ ἄμορφοι, καὶ οἳ μὲν χρύσεοι, ὡς ἐδόκουν, οἳ δὲ ταπεινοί τε καὶ εὐτελεῖς. ἦσαν δ' ἐν αὐτοῖς καὶ πτερωτοί τινες καὶ τερατώδεις, καὶ ἄλλοι καθάπερ ἐς πομπὴν διεσκευασμένοι, οἳ μὲν ἐς βασιλέας, οἳ δὲ ἐς θεούς, οἳ δὲ εἰς ἄλλα τοιαῦτα κεκοσμημένοι. πολλοὺς δὲ αὐτῶν καὶ ἐγνωρίσαμεν πάλαι παρ' ἡμῖν ἑωρακότες, οἳ δὴ καὶ προσῄεσαν καὶ ἠσπάζοντο ὡς ἂν καὶ συνήθεις ὑπάρχοντες, καὶ παραλαβόντες ἡμᾶς καὶ κατακοιμίσαντες πάνυ λαμπρῶς καὶ δεξιῶς ἐξένιζον, τήν τε ἄλλην ὑποδοχὴν μεγαλοπρεπῆ κατασκευάσαντες καὶ ὑπισχνούμενοι βασιλέας τε ποιήσειν καὶ σατράπας. ἔνιοι δὲ καὶ ἀπῆγον ἡμᾶς εἰς τὰς πατρίδας καὶ τοὺς οἰκείους ἐπεδείκνυον καὶ
35 αὐθημερὸν ἐπανῆγον. ἡμέρας μὲν οὖν τριάκοντα καὶ ἴσας νύκτας παρ' αὐτοῖς ἐμείναμεν καθεύδοντες καὶ εὐωχούμενοι. ἔπειτα ἄφνω βροντῆς μεγάλης καταρραγείσης ἀνεγρόμενοι καὶ ἀναθορόντες ἀνήχθημεν ἐπισιτισάμενοι. τριταῖοι δ' ἐκεῖθεν τῇ Ὠγυγίᾳ νήσῳ προσσχόντες ἐπιβαίνομεν. πρότερον δ' ἐγὼ λύσας τὴν ἐπιστολὴν ἀνεγίνωσκον τὰ γεγραμμένα. ἦν δὲ τοιάδε· "Ὀδυσσεὺς Καλυψοῖ χαίρειν. Ἴσθι

etc.); e.g. *Confusion* son of *Thin-as-air; Plutocles* son of *Day-dreamer.* Καρεῶτις (if *κάρος = drunken sleep*) *Snorusian Fount.* — **Ἀντιφῶν**: perhaps also a play upon words; but the sophist and epic poet Antiphon, the opponent of Socrates, wrote a work on the interpretation of dreams.

34. οἳ μὲν χρύσεοι: cf. *Gall.* 6 where the shoemaker's dream was *χρυσοῦς καὶ αὐτὸς καὶ χρυσᾶ πάντα περιβεβλημένος.* — **ὡς ἄν**: quasi. Also written *ὡσάν.*

35. ἴσας: see § 1. — **προσσχόντες**: sc. *ναῦν.* — **χαίρειν**: usually alone, sc. *λέγει* or *κελεύει*, like Lat. salutem (dicit), S. (D.). For the relative merits of different greetings see *Laps. in Sal.* 2 ff., where Plato is cited as authority for *εὖ πράττειν.* In the *ἐπιστολαὶ Κρονικαί* Lucian uses *χαίρειν* throughout, but the epistles to Nigrinus

με, ὡς τὰ πρῶτα ἐξέπλευσα παρὰ σοῦ τὴν σχεδίαν κατασκευασάμενος, ναυαγίᾳ χρησάμενον μόλις ὑπὸ Λευκοθέας διασωθῆναι εἰς τὴν τῶν Φαιάκων χώραν, ὑφ' ὧν ἐς τὴν οἰκείαν ἀποπεμφθεὶς κατέλαβον πολλοὺς τῆς γυναικὸς μνηστῆρας ἐν τοῖς ἡμετέροις τρυφῶντας· ἀποκτείνας δὲ ἅπαντας ὑπὸ Τηλεγόνου ὕστερον τοῦ ἐκ Κίρκης μοι γενομένου ἀνῃρέθην, καὶ νῦν εἰμι ἐν τῇ Μακάρων νήσῳ πάνυ μετανοῶν ἐπὶ τῷ καταλιπεῖν τὴν παρὰ σοὶ δίαιταν καὶ τὴν ὑπὸ σοῦ προτεινομένην ἀθανασίαν. ἢν οὖν καιροῦ λάβωμαι, ἀποδρὰς ἀφίξομαι πρὸς σέ." ταῦτα μὲν ἐδήλου ἡ ἐπιστολή,
36 καὶ περὶ ἡμῶν, ὅπως ξενισθῶμεν. ἐγὼ δὲ προελθὼν ὀλίγον ἀπὸ τῆς θαλάττης εὗρον τὸ σπήλαιον τοιοῦτον οἷον Ὅμηρος εἶπε, καὶ αὐτὴν ταλασιουργοῦσαν. ὡς δὲ τὴν ἐπιστολὴν ἔλαβε καὶ ἐπελέξατο, πρῶτα μὲν ἐπὶ πολὺ ἐδάκρυεν, ἔπειτα δὲ παρεκάλει ἡμᾶς ἐπὶ ξενίᾳ καὶ εἱστία λαμπρῶς καὶ περὶ τοῦ Ὀδυσσέως ἐπυνθάνετο καὶ περὶ τῆς Πηνελόπης, ὁποία τε εἴη τὴν ὄψιν καὶ εἰ σώφρων, καθάπερ Ὀδυσσεὺς πάλαι περὶ αὐτῆς ἐκόμπαζε· καὶ ἡμεῖς τοιαῦτα ἀπεκρινάμεθα ἐξ ὧν εἰκάζομεν εὐφρανεῖσθαι αὐτήν. τότε μὲν οὖν ἀπελθόντες
37 ἐπὶ ναῦν πλησίον ἐπὶ τῆς ᾐόνος ἐκοιμήθημεν. ἕωθεν δὲ ἀνηγόμεθα σφοδρότερον κατιόντος τοῦ πνεύματος· καὶ δὴ χειμασθέντες ἡμέρας δύο τῇ τρίτῃ περιπίπτομεν τοῖς Κολοκυνθοπειραταῖς. ἄνθρωποι δέ εἰσιν οὗτοι ἄγριοι ἐκ τῶν πλησίον νήσων λῃστεύοντες τοὺς παραπλέοντας. τὰ πλοῖα δὲ ἔχουσι μεγάλα κολοκύνθινα τὸ μῆκος πήχεων ἑξήκοντα· ἐπειδὰν γὰρ ξηράνωσι τὴν κολόκυνθαν, κοιλάναντες αὐτὴν

and to Cronius (see *Peregr.* 1) begin with εὖ πράττειν. — **τὴν σχεδίαν**: see *Od.* 5. — **ἀποπεμφθείς**: *escorted home.* — **Τηλεγόνου**: the *Telegonia* by Eugammon of Cyrene (ca. 568 B.C.) continued the story of the *Odyssey* and told how Telegonus slew his father in Ithaca. — **ἐπιστολή**: cf. Penelope's letter to Odysseus, Ovid *Her.* 1.

36. **τὸ σπήλαιον**: cf. *Od.* 5, 56 ff. — **ἐπελέξατο**: see note to *D. Mar.* 5, 2.

37. **κοιλάναντες**: see Introd. 16. —

καὶ ἐξελόντες τὴν ἐντεριώνην ἐμπλέουσιν, ἱστοῖς μὲν χρώ-
μενοι καλαμίνοις, ἀντὶ δὲ τῆς ὀθόνης τῷ φύλλῳ τῆς κο-
λοκύνθης. προσβαλόντες οὖν ἡμῖν ἀπὸ δύο πληρωμάτων
ἐμάχοντο καὶ πολλοὺς κατετραυμάτιζον βάλλοντες τῷ σπέρ-
ματι τῶν κολοκυνθῶν. ἀγχωμάλως δὲ ἐπὶ πολὺ ναυμαχοῦν-
τες περὶ μεσημβρίαν εἴδομεν κατόπιν τῶν Κολοκυνθοπειρατῶν
προσπλέοντας τοὺς Καρυοναύτας. πολέμιοι δὲ ἦσαν ἀλλή-
λοις, ὡς ἔδειξαν· ἐπεὶ γὰρ ἐκεῖνοι ᾔσθοντο αὐτοὺς ἐπιόντας,
ἡμῶν μὲν ὠλιγώρησαν, τραπόμενοι δὲ ἐπ᾽ ἐκείνους ἐναυμά-
38 χουν. ἡμεῖς δὲ ἐν τοσούτῳ ἐπάραντες τὴν ὀθόνην ἐφεύγομεν
ἀπολιπόντες αὐτοὺς μαχομένους. καὶ δῆλοι ἦσαν κρατή-
σοντες οἱ Καρυοναῦται ἅτε καὶ πλείους — πέντε γὰρ εἶχον
πληρώματα — καὶ ἀπὸ ἰσχυροτέρων νεῶν μαχόμενοι· τὰ
γὰρ πλοῖα ἦν αὐτοῖς κελύφη, καρύων ἡμίτομα, κεκενωμένα,
μέγεθος δὲ ἑκάστου ἡμιτομίου ἐς μῆκος ὀργυιαὶ πεντεκαί-
δεκα. ἐπεὶ δὲ ἀπεκρύψαμεν αὐτούς, ἰώμεθά τε τοὺς τραυ-
ματίας καὶ τὸ λοιπὸν ἐν τοῖς ὅπλοις ἦμεν ὡς ἐπίπαν ἀεί
39 τινας ἐπιβουλὰς προσδεχόμενοι· οὐ μάτην. οὔπω γοῦν
ἐδεδύκει ὁ ἥλιος, καὶ ἀπό τινος ἐρήμου νήσου προσήλαυνον
ἡμῖν ὅσον εἴκοσιν ἄνδρες ἐπὶ δελφίνων μεγάλων ὀχούμενοι,
λῃσταὶ καὶ οὗτοι· καὶ οἱ δελφῖνες αὐτοὺς ἔφερον ἀσφαλῶς,
καὶ ἀναπηδῶντες ἐχρεμέτιζον ὥσπερ ἵπποι. ἐπεὶ δὲ πλησίον
ἦσαν, διαστάντες οἱ μὲν ἔνθεν, οἱ δὲ ἔνθεν ἔβαλλον ἡμᾶς
σηπίαις ξηραῖς καὶ ὀφθαλμοῖς καρκίνων. τοξευόντων δὲ
καὶ ἡμῶν καὶ ἀκοντιζόντων οὐκέτι ὑπέμειναν, ἀλλὰ τρωθέντες

ἐντεριώνην: *pulp.*—**ἀγχωμάλως**: a Thucydidean reminiscence, see L. & S. s.v. —**Καρυοναύτας**: the *Shellbarkers.*

38. οὐ μάτην: note the tragic solemnity of the asyndeton.

39. οὔπω . . . καί: for parataxis see *Somn.* 1.—**ἐπὶ δελφίνων**: cf. *D. Mar.* 15, 3 παρίππευον ἐπὶ τῶν δελφίνων. For story of Arion cf. *D. Mar.* 8; for *The Boy and the Dolphin*, Pliny *Ep.* 9, 33.—**ἐχρεμέτιζον ὥσπερ ἵπποι**: cf. *Gall.* 2 where the horse of Achilles "bids a long farewell to neighing," μακρὰ χαίρειν φράσας τῷ χρεμετίζειν.

40 οἱ πολλοὶ αὐτῶν πρὸς τὴν νῆσον κατέφυγον. περὶ δὲ
τὸ μεσονύκτιον γαλήνης οὔσης ἐλάθομεν προσοκείλαντες
ἀλκυόνος καλιᾷ παμμεγέθει· σταδίων γοῦν ἦν αὕτη ἑξή-
κοντα τὸ περίμετρον. ἐπέπλει δὲ ἡ ἀλκυὼν τὰ ᾠὰ θάλπουσα
οὐ πολὺ μείων τῆς καλιᾶς. καὶ δὴ ἀναπταμένη μικροῦ μὲν
κατέδυσε τὴν ναῦν τῷ ἀνέμῳ τῶν πτερῶν· ᾤχετο δ᾽ οὖν
φεύγουσα γοεράν τινα φωνὴν προϊεμένη. ἐσβάντες δὲ ἡμεῖς
ἡμέρας ἤδη ὑποφαινούσης ἐθεώμεθα τὴν καλιὰν σχεδίᾳ
μεγάλῃ προσεοικυῖαν ἐκ δένδρων μεγάλων συμπεφορημένην·
ἐπῆν δὲ καὶ ᾠὰ πεντακόσια, ἕκαστον αὐτῶν Χίου πίθου περι-
πληθέστερον. ἤδη μέντοι καὶ οἱ νεοττοὶ ἔνδοθεν ἐφαίνοντο
καὶ ἔκρωζον. πελέκεσιν οὖν διακόψαντες ἓν τῶν ᾠῶν νεοτ-
41 τὸν ἄπτερον ἐξεκολάψαμεν εἴκοσι γυπῶν ἁδρότερον. ἐπεὶ
δὲ πλέοντες ἀπείχομεν τῆς καλιᾶς ὅσον σταδίους διακοσίους,
τέρατα ἡμῖν μεγάλα καὶ θαυμαστὰ ἐπεσήμανεν· ὅ τε γὰρ
ἐν τῇ πρύμνῃ χηνίσκος ἄφνω ἐπτερύξατο καὶ ἀνεβόησε, καὶ
ὁ κυβερνήτης ὁ Σκίνθαρος φαλακρὸς ἤδη ὢν ἀνεκόμησε.
καὶ τὸ πάντων δὴ παραδοξότατον· ὁ γὰρ ἱστὸς τῆς νεὼς

40. **ἀλκυόνος καλιᾷ**: for the story of the Rukh in the *Arabian Nights* see p. 55. The dialogue *Halcyon*, included in Lucian's writings, is admitted to be spurious. — **ἐπέπλει**: *was floating along on it.* The nest itself floated. — **ἁδρότερον**: *bulkier.*

41. **τέρατα . . . ἐπεσήμανεν**: prodigies like this, freely recorded by Lucian's contemporary "historians," could be traced back to the Homeric hymn to Dionysus. Cf. Ovid (*Met.* 3, 661 ff.); and *h. Hom.* 7, 38–41:

αὐτίκα δ᾽ ἀκρότατον παρὰ ἱστίον ἐξετανύσθη
ἄμπελος ἔνθα καὶ ἔνθα, κατεκρημνῶντο δὲ πολλοὶ
βότρυες· ἀμφ᾽ ἱστὸν δὲ μέλας εἱλίσσετο κισσός,
ἄνθεσι τηλεθάων, χαρίεις δ᾽ ἐπὶ καρπὸς ὀρώρει.

So here: ὁ ἱστὸς ἐβλάστησε and ἐκαρποφόρησεν. — **χηνίσκος**: at the vessel's stern. Cf. Lucian's description of a ship, *Navig.* 5: ἡ πρύμνα μὲν ἐπανέστηκεν ἠρέμα καμπύλη χρυσοῦν χηνίσκον ἐπικειμένη, καταντικρὺ δὲ ἀνάλογον ἡ πρῷρα ὑπερβέβηκεν ἐς τὸ πρόσω ἀπομηκυνομένη, τὴν ἐπώνυμον τῆς νεὼς ἔχουσα τὴν Ἶσιν ἑκατέρωθεν. — **ἀνεκόμησε**: like the bald head of the Jackdaw of Rheims (*Ingoldsby Legends*). — **τὸ πάντων παραδοξότατον**: for this superlative cf. Schmid, I, 311.

ἐξεβλάστησε καὶ κλάδους ἀνέφυσε καὶ ἐπὶ τῷ ἄκρῳ ἐκαρποφόρησεν. ὁ δὲ καρπὸς ἦν σῦκα καὶ σταφυλὴ μέλαινα, οὔπω πέπειρος. ταῦτα ἰδόντες ὡς τὸ εἰκὸς ἐταράχθημεν καὶ ηὐχόμεθα τοῖς θεοῖς ἀποτρέψαι τὸ ἀλλόκοτον τοῦ φαντά-
42 σματος. οὔπω δὲ πεντακοσίους σταδίους διελθόντες εἴδομεν ὕλην μεγίστην καὶ λάσιον πιτύων καὶ κυπαρίττων. καὶ ἡμεῖς μὲν εἰκάσαμεν ἤπειρον εἶναι· τὸ δὲ ἦν πέλαγος ἄβυσσον ἀρρίζοις δένδροις καταπεφυτευμένον· εἱστήκει δὲ τὰ δένδρα ὅμως ἀκίνητα, ὀρθὰ καθάπερ ἐπιπλέοντα. πλησιάσαντες γοῦν καὶ τὸ πᾶν κατανοήσαντες ἐν ἀπόρῳ εἰχόμεθα τί χρὴ δρᾶν· οὔτε γὰρ διὰ τῶν δένδρων πλεῖν δυνατὸν ἦν—πυκνὰ γὰρ καὶ προσεχῆ ὑπῆρχεν—οὔτε ἀναστρέφειν ἐδόκει ῥᾴδιον. ἐγὼ δὲ ἀνελθὼν ἐπὶ τὸ μέγιστον δένδρον ἐπεσκόπουν τὰ ἐπέκεινα ὅπως ἔχοι, καὶ ἑώρων ἐπὶ σταδίους μὲν πεντήκοντα ἢ ὀλίγῳ πλείους τὴν ὕλην οὖσαν, ἔπειτα δὲ αὖθις ἕτερον ὠκεανὸν ἐκδεχόμενον. καὶ δὴ ἐδόκει ἡμῖν ἀναθεμένους τὴν ναῦν ἐπὶ τὴν κόμην τῶν δένδρων—πυκνὴ δὲ ἦν—ὑπερβιβάσαι, εἰ δυναίμεθα, ἐς τὴν θάλατταν τὴν ἑτέραν· καὶ οὕτως ἐποιοῦμεν. ἐκδήσαντες γὰρ αὐτὴν κάλῳ μεγάλῳ καὶ ἀνελθόντες ἐπὶ τὰ δένδρα μόλις ἀνιμησάμεθα, καὶ θέντες ἐπὶ τῶν κλάδων, πετάσαντες τὰ ἱστία καθάπερ ἐν θαλάττῃ ἐπλέομεν τοῦ ἀνέμου προωθοῦντος ἐπισυρόμενοι· ἔνθα δὴ καὶ τὸ Ἀντιμάχου τοῦ ποιητοῦ ἔπος ἐπεισῆλθέ με. φησὶ γάρ που κἀκεῖνος·

Τοῖσιν δ' ὑλήεντα διὰ πλόον ἐρχομένοισι.

42. **ἄβυσσον ἀρρίζοις** *κτλ.*: like the seaweed in the Sargasso Sea, cf. Janvier's romance. — **ἐκδεχόμενον**: so Hdt., and cf. Lat. *excipere*, e.g. Pliny *Ep.* 2, 17, 2, utrimque excipit iter aliqua ex parte harenosum. — **κάλῳ μεγάλῳ**: the ship was suspended by, or from, a cable. — **ἀνιμησάμεθα**: properly used of the rope (*ἱμονιά*) in a well, but variously transferred; e.g. in *Alex.* 14 the embryonic god is drawn from the mud (*ἀνιμᾶται*) in a *φιάλη*, so in Xen. *Anab.* 4, 2, 8 the soldiers draw their fellows up by their spears. — **Ἀντιμάχου**: of Colophon, flor. ca. 405 B.C. The Emperor Hadrian's reported preference

43 βιασάμενοι δὲ ὅμως τὴν ὕλην ἀφικόμεθα ἐς τὸ ὕδωρ. καὶ πάλιν ὁμοίως καταθέντες τὴν ναῦν ἐπλέομεν διὰ καθαροῦ καὶ διαυγοῦς ὕδατος, ἄχρι δὴ ἐπέστημεν χάσματι μεγάλῳ ἐκ τοῦ ὕδατος διεστῶτος γεγενημένῳ, καθάπερ ἐν τῇ γῇ πολλάκις ὁρῶμεν ὑπὸ σεισμῶν γενόμενα διαχωρίσματα. ἡ μὲν οὖν ναῦς καθελόντων ἡμῶν τὰ ἱστία οὐ ῥᾳδίως ἔστη παρ' ὀλίγον ἐλθοῦσα κατενεχθῆναι. ὑπερκύψαντες δὲ ἡμεῖς ἑωρῶμεν βάθος ὅσον σταδίων χιλίων μάλα φοβερὸν καὶ παράδοξον· εἱστήκει γὰρ τὸ ὕδωρ ὥσπερ μεμερισμένον· περιβλέποντες δὲ ὁρῶμεν κατὰ δεξιὰ οὐ πάνυ πόρρωθεν γέφυραν ἐπεζευγμένην ὕδατος συνάπτοντος τὰ πελάγη κατὰ τὴν ἐπιφάνειαν, ἐκ τῆς ἑτέρας θαλάττης ἐς τὴν ἑτέραν διαρρέοντος. προσελάσαντες οὖν ταῖς κώπαις κατ' ἐκεῖνο παρεδράμομεν καὶ μετὰ πολλῆς ἀγωνίας ἐπεράσαμεν οὔποτε
44 προσδοκήσαντες. ἐντεῦθεν ἡμᾶς ὑπεδέχετο πέλαγός τε προσηνὲς καὶ νῆσος οὐ μεγάλη, εὐπρόσιτος, συνοικουμένη· ἐνέμοντο δὲ αὐτὴν ἄγριοι ἄνθρωποι, Βουκέφαλοι, κέρατα ἔχοντες, οἷον παρ' ἡμῖν τὸν Μινώταυρον ἀναπλάττουσιν. ἀποβάντες δὲ προῄειμεν ὑδρευσόμενοι καὶ σιτία ληψόμενοι, εἴ ποθεν δυνηθείημεν· οὐκέτι γὰρ εἴχομεν. καὶ ὕδωρ μὲν αὐτοῦ πλησίον εὕρομεν, ἄλλο δὲ οὐδὲν ἐφαίνετο, πλὴν μυκηθμὸς πολὺς οὐ πόρρωθεν ἠκούετο. δόξαντες οὖν ἀγέλην εἶναι βοῶν, κατ' ὀλίγον προχωροῦντες ἐπέστημεν τοῖς ἀνθρώποις. οἱ δὲ ἰδόντες ἡμᾶς ἐδίωκον, καὶ τρεῖς μὲν τῶν

of Antimachus to Homer is even more surprising than the preference for Bacchylides over Pindar on the part of the author of *περὶ Ὕψους*.

43. **βιασάμενοι**: with acc. has a military flavor like Thuc. 7, 72 *βιάσασθαι τὸν ἔκπλουν*, *to force the exit*. — **ἐκ τοῦ ὕδατος διεστῶτος**: no reference to the parting of the Red Sea need be thought of. See p. 55, note 4. — **μεμερισμένον**: in Ps.-Dem. 1149, 21 this perf. is used of "going shares" in the inheritance, i.e. "a division for good and all."

44. **Βουκέφαλοι**: a burlesque on Ctesias's dog-headed men (*κυνοκέφαλοι*), *Ctesiae Fragm. de rebus Indicis* 20, cf. Hdt. 4, 191. Possibly also a suggestion of the Minotaur and of Io. Perhaps

ἑταίρων λαμβάνουσιν, οἱ δὲ λοιποὶ πρὸς τὴν θάλατταν κατεφεύγομεν. εἶτα μέντοι πάντες ὁπλισάμενοι — οὐ γὰρ ἐδόκει ἡμῖν ἀτιμωρήτους περιιδεῖν τοὺς φίλους — ἐμπίπτομεν τοῖς Βουκεφάλοις τὰ κρέα τῶν ἀνῃρημένων διαιρουμένοις· βοήσαντες δὲ πάντες ἐδιώκομεν, καὶ κτείνομέν τε ὅσον πεντήκοντα καὶ ζῶντας αὐτῶν δύο λαμβάνομεν, καὶ αὖθις ὀπίσω ἀνεστρέψαμεν τοὺς αἰχμαλώτους ἔχοντες. σιτίον μέντοι οὐδὲν εὕρομεν. οἱ μὲν οὖν ἄλλοι παρῄνουν ἀποσφάττειν τοὺς εἰλημμένους, ἐγὼ δὲ οὐκ ἐδοκίμαζον, ἀλλὰ δήσας ἐφύλαττον αὐτούς, ἄχρι δὴ ἀφίκοντο παρὰ τῶν Βουκεφάλων πρέσβεις αἰτοῦντες ἐπὶ λύτροις τοὺς συνειλημμένους· συνίεμεν γὰρ αὐτῶν διανευόντων καὶ γοερόν τι μυκωμένων ὥσπερ ἱκετευόντων. τὰ λύτρα δὲ ἦν τυροὶ πολλοὶ καὶ ἰχθύες ξηροὶ καὶ κρόμμυα καὶ ἔλαφοι τέτταρες, τρεῖς ἑκάστη πόδας ἔχουσα, δύο μὲν τοὺς ὄπισθεν, οἱ δὲ πρόσω εἰς ἕνα συνεπεφύκεσαν. ἐπὶ τούτοις ἀποδόντες τοὺς συνειλημμένους καὶ μίαν ἡμέραν ἐπιμείναντες ἀνήχθημεν.

45 ἤδη δὲ ἰχθύες τε ἡμῖν ἐφαίνοντο καὶ ὄρνεα παρεπέτετο καὶ ἄλλ' ὁπόσα γῆς πλησίον οὔσης σημεῖα προὐφαίνετο. μετ' ὀλίγον δὲ καὶ ἄνδρας εἴδομεν καινῷ τρόπῳ ναυτιλίας χρωμένους· αὐτοὶ γὰρ καὶ ναῦται καὶ νῆες ἦσαν. λέξω δὲ τοῦ πλοῦ τὸν τρόπον· ὕπτιοι κείμενοι ἐπὶ τοῦ ὕδατος ὀρθώσαντες τὰ αἰδοῖα — μεγάλα δὲ φέρουσιν — ἐξ αὐτῶν ὀθόνην πετάσαντες καὶ ταῖς χερσὶ τοὺς ποδεῶνας κατέχοντες ἐμπίπτοντος τοῦ ἀνέμου ἔπλεον. ἄλλοι δὲ μετὰ τούτους ἐπὶ φελλῶν καθήμενοι ζεύξαντες δύο δελφῖνας ἤλαυνόν τε καὶ ἡνιόχουν· οἱ δὲ

he thinks of their *μητρόπολις* as *Bucephala*, with the horse of Alexander included. — **πόδας**: *legs*. Cf. Rev. 10, 1. So *χείρ* for arm, e.g. Hdt. 2, 121 *ἀποταμὼν ἐν τῷ ὤμῳ τὴν χεῖρα*.

45. **μεγάλα δὲ φέρουσιν**: parody on Ctesias's Pygmies (cf. *Ctesiae Fragm. de rebus Indicis* § 11 p. 81 in Didot ed. of Herodotus) who use their hair and beard *ἀντὶ ἱματίου. Αἰδοῖον δὲ μέγα ἔχουσιν κτλ.* — **ἤλαυνόν τε καὶ ἡνιόχουν**: so paired in *Somn.* 15.

προϊόντες ἐπεφέροντο τοὺς φελλούς. οὗτοι ἡμᾶς οὔτε ἠδί-
κουν οὔτε ἔφευγον, ἀλλ' ἤλαυνον ἀδεῶς τε καὶ εἰρηνικῶς τὸ
εἶδος τοῦ ἡμετέρου πλοίου θαυμάζοντες καὶ πάντοθεν περι-
46 *σκοποῦντες. ἑσπέρας δὲ ἤδη προσήχθημεν νήσῳ οὐ με-*
γάλῃ· κατῴκητο δὲ αὕτη ὑπὸ γυναικῶν, ὡς ἐνομίζομεν,
Ἑλλάδα φωνὴν προϊεμένων· προσῄεσαν γὰρ καὶ ἐδεξιοῦντο
καὶ ἠσπάζοντο, πάνυ ἑταιρικῶς κεκοσμημέναι καὶ καλαὶ
πᾶσαι καὶ νεάνιδες, ποδήρεις τοὺς χιτῶνας ἐπισυρόμεναι.
ἡ μὲν οὖν νῆσος ἐκαλεῖτο Καβαλοῦσα, ἡ δὲ πόλις Ὑδραμαρ-
δία. λαβοῦσαι δ' οὖν ἡμᾶς αἱ γυναῖκες ἑκάστη πρὸς ἑαυτὴν
ἀπῆγε καὶ ξένον ἐποιεῖτο. ἐγὼ δὲ μικρὸν ὑποστὰς — οὐ γὰρ
χρηστὰ ἐμαντευόμην — ἀκριβέστερόν τε περιβλέπων ὁρῶ
πολλῶν ἀνθρώπων ὀστᾶ καὶ κρανία κείμενα· καὶ τὸ μὲν
βοὴν ἱστάναι καὶ τοὺς ἑταίρους συγκαλεῖν καὶ ἐς τὰ ὅπλα
χωρεῖν οὐκ ἐδοκίμαζον. προχειρισάμενος δὲ τὴν μαλάχην
πολλὰ ηὐχόμην αὐτῇ διαφυγεῖν ἐκ τῶν παρόντων κακῶν.
μετ' ὀλίγον δὲ τῆς ξένης διακονουμένης εἶδον τὰ σκέλη οὐ
γυναικός, ἀλλ' ὄνου ὁπλάς· καὶ δὴ σπασάμενος τὸ ξίφος
συλλαμβάνω τ' αὐτὴν καὶ δήσας περὶ τῶν ὅλων ἀνέκρινον.
ἣ δὲ ἄκουσα μέν, εἶπε δὲ ὅμως, αὐτὰς μὲν εἶναι θαλαττί-
ους γυναῖκας Ὀνοσκελέας προσαγορευομένας, τροφὴν δὲ
ποιεῖσθαι τοὺς ἐπιδημοῦντας ξένους. Ἐπειδὰν γάρ, ἔφη, με-
θύσωμεν αὐτούς, συνευνηθεῖσαι κοιμωμένοις ἐπιχειροῦμεν.
ἀκούσας δὲ ταῦτα ἐκείνην μὲν αὐτοῦ κατέλιπον δεδεμένην,
αὐτὸς δὲ ἀνελθὼν ἐπὶ τὸ στέγος ἐβόων τε καὶ τοὺς ἑταίρους
συνεκάλουν. ἐπεὶ δὲ συνῆλθον, τὰ πάντα ἐμήνυον αὐτοῖς
καὶ τά τε ὀστᾶ ἐδείκνυον καὶ ἦγον ἔσω πρὸς τὴν δεδεμένην·

46. **Καβαλοῦσα**: (? καβάλλης, *nag*) *Mare Island.* **Ὑδραμαρδία**, *Waterbury*; cf. infra, ἣ δὲ . . . ὕδωρ ἐγένετο. — **προχειρισάμενος**: *taking the mallow* (§ 28) *into my hands*, i.e. in order to pray to it. — **Ὀνοσκελέας**: *Jenny-jambeaux.* Cf. ὀνοσκελίς used of the hobgoblin Empusa, who also fed on men.

ἣ δὲ αὐτίκα ὕδωρ ἐγένετο καὶ ἀφανὴς ἦν. ὅμως δὲ τὸ ξίφος
47 ἐς τὸ ὕδωρ καθῆκα πειρώμενος· τὸ δὲ αἷμα ἐγένετο. ταχέως οὖν ἐπὶ ναῦν κατελθόντες ἀπεπλεύσαμεν· καὶ ἐπεὶ ἡμέρα ὑπηύγαζε, τὴν ἤπειρον ἀποβλεπόμενοι εἰκάζομεν εἶναι τὴν ἀντιπέραν τῇ ὑφ᾽ ἡμῶν οἰκουμένῃ κειμένην. προσκυνήσαντες δ᾽ οὖν καὶ προσευξάμενοι περὶ τῶν μελλόντων ἐσκοποῦμεν. καὶ τοῖς μὲν ἐδόκει ἐπιβᾶσι μόνον αὖθις ὀπίσω ἀναστρέφειν, τοῖς δὲ τὸ μὲν πλοῖον αὐτοῦ καταλιπεῖν, ἀνελθόντας δὲ ἐς τὴν μεσόγαιαν πειραθῆναι τῶν ἐνοικούντων. ἐν ὅσῳ δὲ ταῦτα ἐλογιζόμεθα, χειμὼν σφοδρὸς ἐπιπεσὼν καὶ προσαράξας τὸ σκάφος τῷ αἰγιαλῷ διέλυσεν. ἡμεῖς δὲ μόλις ἐξενηξάμεθα τὰ ὅπλα ἕκαστος καὶ εἴ τι ἄλλο οἷός τε ἦν ἁρπασάμενοι.

Ταῦτα μὲν οὖν τὰ μέχρι τῆς ἑτέρας γῆς συνενεχθέντα μοι ἐν τῇ θαλάττῃ καὶ παρὰ τὸν πλοῦν ἐν ταῖς νήσοις καὶ ἐν τῷ ἀέρι καὶ μετὰ ταῦτα ἐν τῷ κήτει καὶ ἐπειδὴ ἐξήλθομεν, παρά τε τοῖς ἥρωσι καὶ τοῖς ὀνείροις καὶ τὰ τελευταῖα παρὰ τοῖς Βουκεφάλοις καὶ ταῖς Ὀνοσκελέαις, τὰ δὲ ἐπὶ τῆς γῆς ἐν τοῖς ἑξῆς βιβλίοις διηγήσομαι.

— **ὕδωρ ἐγένετο**: this has been one of the conventional transformations from the time of Proteus; cf. *Od.* 4, 458 *γίγνετο δ᾽ ὑγρὸν ὕδωρ.* At the beginning, *V. H.* A 3, Lucian notified his readers that the Odyssey was one of his models. — **αἷμα ἐγένετο**: so in the case of trees into which human beings have been transformed, the sap very properly reappears in its original condition as blood; cf. the bleeding cornel-trees in Virgil's *Aeneid* 3, 28 ff.

47. **τὴν ἀντιπέραν**: cf. § 27. — **Ταῦτα μὲν οὖν** *κτλ.*: a résumé of *V. H.* A and B. — **τῆς ἑτέρας γῆς**: cf. § 27 *ἐς τὴν ἑτέραν ἤπειρον.*

VITARUM AUCTIO and PISCATOR

INTRODUCTION

The *Vitarum Auctio* and its sequel, the *Piscator*, are of Lucian's best; but the two are different in character. In the former all proprieties and probabilities, facts and philosophies, are subordinated to the exigencies of comedy. The *Piscator*, too, is comedy, Aristophanic at once in its roguery, in scenic vividness, and in fertility of invention; but it has the seriousness that inheres in Plato's dramatic setting. It is an antidote, held in readiness, or afterwards prepared, to counteract the effects of the *Vitarum Auctio.* It is possible, of course, that the vehemence of contemporary protest may have been conveniently assumed by Lucian to give him material for a sequel. But this protest was probably real. For it is entirely possible to misunderstand the animus of the *Vitarum Auctio.* Not all the laity nor all philosophers possess the saving sense of humor, the mental flexibility, that welcomes the wanton breeze of comedy blowing where it listeth. Lucian has never lacked for commentators to rise up and call him sacrilegious.[1] But he had as little intention of dragging Socrates, for example, in the mire as had Aristophanes. Indeed, the distorted dummy in the *Clouds* might well work injury to the living Socrates in the minds of his easily swayed contemporaries, but Lucian's masquerade with worthies long since dead could not in the face of the ratified verdict of centuries be harmfully misunderstood by the saner sort for whom Lucian preferred to write. By this it is not meant to assert that he allowed any squeamishness to stand in the way of comic

[1] E.g. Margadant, *De Luciano aequalium suorum censore* (1881), where Lucian as humorist comes off rather badly, pp. 48 ff. "Modo (i.e. in the *Vitarum Auctio*) fuit maledicus, nunc (i.e. in the *Piscator*) fiet idem mendax."

effect, nor that he had no sense of irritation at the dogmas even of the Platonic idealism. The sword of comedy is two-edged, and, as our mood may be, we laugh or are cut to the quick by the irreverence which makes Socrates, for example, (*D. Mort.* 21, 1) cry out as Cerberus snaps at his heel and the spasm of the hemlock jerks him down. And more orthodox souls than Lucian succumb upon occasion to a fit of tedium that supervenes upon the established proprieties and ostracizes Aristides the Just or flouts Penelope as the prudish mother of a prig. The *Piscator*, it may be added, states (§ 46) very seriously Lucian's attitude towards right living as he conceived it.

The two pieces may have been separated[1] in publication by several years, but they should be read together.[2] In the *Vitarum Auctio* samples of souls are put up, described, examined, and knocked down to the first bidder at the auctioneer's own price; or, if they prove unsaleable, set aside. There is, strictly speaking, no "auction." They are sold, or withdrawn, at a fixed price.[3]

The heads of the schools are not mentioned by name, but the disguise is thin. We start, indeed, with "a certain Pythagorean,"[4] but the master himself at once emerges. So we have "a certain Peripatetic," but Aristotle is as easily recognized as in Dante's incognito. The chief difficulty about the dramatis personae is the fusion of Socrates and Plato. We begin to sell off the one and end with the other. Many editors assume a lacuna and make a fresh start (§ 17) where the conversation turns from the historical Socrates to Socrates the mere mouthpiece of Plato. When Dion appears as purchaser there can be no thought of Socrates. It seems not unlikely

[1] Bolderman, *Stud. Lucian.* (p. 133 134 *Tab. Chron.*), suggests a possible interval of nine years.

[2] Bolderman (l.c. p. 86) declares that the former by itself is "ein reines Unding." One might assert this almost as confidently of the first part of Goethe's *Faust.* In each case the sequel completes: "Am farbigen Abglanz haben wir das Leben." Other pairs in Lucian are, e.g., *Quomodo Historia Conscribenda Sit* and *Vera Historia; De Morte Peregrini* and *Fugitivi.*

[3] Cf. Sheridan's *School for Scandal*, iv, 1, and, for the auctioneer, *The Critic*, i, 2.

[4] See Helm, *Lucian und die Philosophenschulen*, Neue Jahrbücher vol. 9 (1902), pp. 188 ff.

that Lucian intended[1] the composite picture. It was simpler than to make a fresh start with Plato. Socrates was perpetuated by no single school. The earlier philosophic systems focused in him as in a burning-glass. From him the rays diverge again, and the founder of each school — Cynic, Cyrenaic, Megarian, the Academy even — transmitted only a partial or distorted ray of the Socratic system of ethics. But it was inconvenient to disentangle the proportion of responsibility for various views, and all the extra touches, like Community of Marriage[2] and the Theory of Ideas, seem necessary to justify the high price asked and paid. As it is, the two talents, so disproportionate to the prices fetched by all the rest put together, may justify the inference that Lucian, in the midst of his hilarious raillery, must needs sotto voce indicate his real estimate of Socrates — too secure in his noble fame to be harmed by ribald innuendo — and of Plato, "whose little finger," for Lucian[3] as well as for Lowell, "is thicker than the loins of Aristotle."

Lucian's line of samples is not complete. It is not a compendium of Greek philosophy. Still he effects a sale of representatives of the four established[4] schools — Socrates and Plato together representing the Academics — and also of the two dissenting schools, the Cynics and the Sceptics. The varying prices[5] may perhaps be taken as indicating some rough assessment of their current value or their popularity. Of the two pre-Socratic philosophers offered, Pythagoras, as an antique curio, sells for nearly as much as the popular Chrysippus. Heracleitus, the only representative of the so-called Ionic school (Thales and the others not being mentioned),

[1] So Aristophanes in the *Clouds* makes a composite photograph that superimposes upon the ethical Socrates his two pet aversions, the Sophists and the Natural Philosophers.

[2] In the *Ecclesiazusae* Aristophanes does not anticipate the essential limitations made by Plato in the *Republic*. His own application suited his purpose.

[3] Even where Chrysippus sums up Plato's strong points (*Pisc.* 22) Lucian cannot refrain from a mischievous fling, but the note of praise is clear. Compare, inter alia, (*Pisc.* 29 end) the really beautiful and subtly Platonic allusion to the haven of true philosophy; cf. too Helm, l.c., pp. 204–207.

[4] See Introd. pp. xiii and xix, note 1.

[5] See below, note to § 6.

proves entirely unsaleable even with a more modern bit of bric-à-brac in the person of Democritus thrown in, and it is perhaps significant of Lucian's underlying meaning that Aristippus also fails to command a purchaser. The modern market — too critical to be content with a mere Cyrenaic — called for a new and improved brand, in the person of Epicurus,[1] made up of the rejected Aristippus and Democritus. Anaxagoras is ignored; the Eleatics are not even put up together as the "One in Many"; Empedocles in Aetna is still warming up to the attack, and does not appear till the opening scene of the *Piscator*.

Lucian's attitude towards philosophy has been the subject of much debate. It has cost many a dissertation to enumerate his apparent inconsistencies — his apotheosis, at one time, of the Cynic Menippus, and at another his sneering, ill-tempered treatment of contemporary Cynics; his praise and his condemnation of the Epicureans, now honored as the foes of the false prophet or as protagonists against a bewildered, antiquated Zeus, and now branded as utter sensualists; his relentless vituperation of the Stoics, yet his frequent praise of teachings that were pre-eminently Stoical;[2] finally his own open Scepticism contrasted with the genuine delight which he takes, here and elsewhere, in mocking at Pyrrho. It is usual to attempt a somewhat definite chronology in Lucian's writings, guided by his successive changes in this regard. Certain phases are evident enough, but the explanation of Lucian's chronic attitude towards philosophy is perhaps very simple. His aims were ethical, not scientific; that is, not strictly philosophic at all. The superficiality of his acquaintance with the schools of philosophy may have been either real or assumed. Probably it was real. But the confusing of Sceptics and Academics,[3] the jumbling together of pet doctrines, the contemptuously unfair treatment of Stoic logic, may have been an ostentation of indifference to technicalities which he understood better than he allowed, yet despised as obscuring the ethical and practical. At the worst his superficiality

[1] Cf. § 19, note.

[2] In this very piece Chrysippus sells for five times as much as Epicurus.

[3] I.e. the New Academy, see note to *Piscator* 43.

was hardly more inexcusable than Socrates's contempt for the scientific aims of Anaxagoras.

Our two dialogues are typical of Lucian's mental processes. In both his instinct as literary artist has the right of way. When comic effect is sought he had to be concrete; hence it was essential to bring on the stage not a Pythagorean but Pythagoras himself. In the *Piscator* he leads up to his mission in life — a war upon shams. Some ass in the lion's skin or some wolf in sheep's clothing was forever in need of undressing. He had scant leisure for admiring, much less for evolving, the bewitching creations of philosophic millinery. His intellect was not constructive.

For a full enjoyment of the *Auctio* it is essential for the reader to have in mind the details of the lives offered for sale. In addition to the articles in the Dictionary of Biography may be mentioned, for Pythagoras, Burnet's *Early Greek Philosophy*, pp. 89–109 and 300–321; for Heracleitus, the same, pp. 129–179. This contains a valuable translation and commentary on Bywater's *Heracliti Ephesii Reliquiae*. Also G. W. T. Patrick, *The Fragments of Heraclitus*. For Heracleitus, Pythagoras, and Empedocles see Fairbanks, *First Philosophers of Greece*, and, for Lucian's own time, Pater's *Marius the Epicurean*. For a popular account of the traditional Pythagoras cf. F. Marion Crawford's *Rulers of the South*, vol. I, pp. 44–68.

The Greek comic poets often exploited Pythagoras or his followers, e.g. the Ἀλκμέων of Mnesimachus, the Πυθαγοριστής of Aristophon, the Μνήματα of Antiphanes, and the Ταραντῖνοι both of Alexis and of Cratinus the younger. See also Bolderman, *Studia Lucianea*, p. 78. Lucian's *Gallus* is a vivid bit of travesty on the Pythagorean formulae, especially the transmigration of souls. But to distinguish between the real Pythagoras and the bizarreries of his followers is as difficult as to make out the true form of the sea-god Glaucus under the incrusted barnacles. From it all, however, Pythagoras emerges as an imposing personage, one of the master minds of antiquity.

It has been conjectured (cf. Fritzsche ad *Vit. Auct.* 8; Croiset p. 70) that Lucian drew the suggestion for the *Vitarum Auctio* from one or more pieces entitled Διογένους Πρᾶσις, cited by Diog. Laert.

6, 2, 29.[1] If so, it was only a suggestion. Lucian's dialogue, however, was in turn freely imitated by Theodorus Prodromus[2] (about the eleventh or twelfth century), whose Βίων πρᾶσις ποιητικῶν καὶ πολιτικῶν (included in the *Notices et Extraits des manuscrits de la Bibliothèque impériale*, 1810, Art. 37) is most easily accessible in Bolderman's monograph (*Stud. Lucianea*, p. 87). In this Homer, Hippocrates, Aristophanes, Euripides, and Demosthenes are put up for sale.[3]

Amongst other commentators[4] Croiset's treatment deserves especial attention for both dialogues. He gives good grounds for believing that in the *Piscator* Lucian makes felicitous use of a lost play of Eupolis.

[1] Cf. also Hirzel, *Der Dialog*, and Schmid in *Bursian's Jahresbericht*, 1901, p. 246.

[2] His satirical poetry, it is worth noting, stands at the very threshold of Modern Greek literature.

[3] Bolderman concludes, alas! that the *Vitarum Auctio*, as we have it, is a hasty second edition; and he takes, accordingly, the usual liberties with his libretto.

[4] See also Helm, l.c.

ΒΙΩΝ ΠΡΑΣΙΣ

1 ΖΕΥΣ. *Σὺ μὲν διατίθει τὰ βάθρα καὶ παρασκεύαζε τὸν τόπον τοῖς ἀφικνουμένοις, σὺ δὲ στῆσον ἑξῆς παραγαγὼν τοὺς βίους, ἀλλὰ κοσμήσας πρότερον, ὡς εὐπρόσωποι φανοῦνται καὶ ὅτι πλείστους ἐπάξονται· σὺ δέ, ὦ Ἑρμῆ, κήρυττε καὶ ξυγκάλει ἀγαθῇ τύχῃ τοὺς ὠνητὰς ἤδη παρεῖναι πρὸς τὸ πωλητήριον. ἀποκηρύξομεν δὲ βίους φιλοσόφους παντὸς εἴδους καὶ προαιρέσεων ποικίλων. εἰ δέ τις οὐκ ἔχει τὸ παραυτίκα τἀργύριον καταβαλέσθαι, ἐς νέωτα ἐκτίσει καταστήσας ἐγγυητήν.*

ΕΡΜ. *Πολλοὶ συνίασιν· ὥστε χρὴ μὴ διατρίβειν μηδὲ κατέχειν αὐτούς.*

Title: *Βίων Πρᾶσις.* The Latin translation *auctio* is inaccurate, for we have a sale, not an auction — not even a "Dutch auction." Tr. *Sale of Soul-Samples.* Cf. Gen. 46, 27, "all the souls of the house of Jacob," with the use of *βίοι* (almost = *guilds*) in *Bis Acc.* 13 *τέχναις ἢ βίοις ἢ ἐπιστήμαις.* The title is intentionally vague. Master and disciples may be confounded here and provision made for the distinction insisted on in the *Piscator.*

1. **Σὺ μὲν . . . σὺ δέ**: to two attendants. — **τὰ βάθρα**: *the benches.* Cf. Plato *Protag.* 325 E *οἱ διδάσκαλοι . . . παρατιθέασιν* (*τοῖς παισὶ*) *ἐπὶ τῶν βάθρων ἀναγιγνώσκειν . . . ποιήματα*, also Dem. *de Cor.* 258, where Demosthenes taunts Aeschines with helping his father as janitor of the school: *τὸ μέλαν* (*the ink*) *τρίβων καὶ τὰ βάθρα σπογγίζων καὶ τὸ παιδαγωγεῖον κορῶν.* — **ὡς φανοῦνται**: poetical syntax, G. 1366. — **Ἑρμῆ, κήρυττε**: Hermes, the knave of all trades. Cf. *D. Deor.* 24. — **ἀγαθῇ τύχῃ**: *with Heaven's blessing.* A common formula in prayers, documents, and proclamations, like quod bene vortat. Cf. § 19. — **βίους φιλοσόφους**: *samples of philosophers.* — **παντὸς εἴδους καὶ προαιρέσεων ποικίλων**: *of every pattern and of assorted sects.* Cf. *Demonax* 5 *φιλοσοφίας εἶδος* and 4 *τὰς ἐν φιλοσοφίᾳ προαιρέσεις.* In § 8 *προαίρεσις* means *purpose*, in § 12, *creed;* and *Pisc.* 23, *doctrine.* — **εἰ οὐκ ἔχει**: for neg. see Introd. 38. — **τὸ παραυτίκα τἀργύριον καταβαλέσθαι**: *to put down the cash forthwith.* Usually the active voice; cf. §§ 18, 25, 27, and *D. Mort.* 4.

ΖΕΥΣ. Πωλῶμεν οὖν.

2 ΕΡΜ. Τίνα θέλεις πρῶτον παραγάγωμεν;

ΖΕΥΣ. Τουτονὶ τὸν κομήτην, τὸν Ἰωνικόν, ἐπεὶ καὶ σεμνός τις εἶναι φαίνεται.

ΕΡΜ. Οὗτος ὁ Πυθαγορικὸς κατάβηθι καὶ πάρεχε σαυτὸν ἀναθεωρεῖν τοῖς συνειλεγμένοις.

ΖΕΥΣ. Κήρυττε δή.

ΕΡΜ. Τὸν ἄριστον βίον πωλῶ, τὸν σεμνότατον, τίς ὠνήσεται; τίς ὑπὲρ ἄνθρωπον εἶναι βούλεται; τίς εἰδέναι τὴν τοῦ παντὸς ἁρμονίαν καὶ ἀναβιῶναι πάλιν;

ΑΓΟΡΑΣΤΗΣ. Τὸ μὲν εἶδος οὐκ ἀγεννής. τί δὲ μάλιστα οἶδεν;

ΕΡΜ. Ἀριθμητικήν, ἀστρονομίαν, τερατείαν, γεωμετρίαν, μουσικήν, γοητείαν. μάντιν ἄκρον βλέπεις.

ΑΓΟ. Ἔξεστιν αὐτὸν ἀνακρίνειν;

ΕΡΜ. Ἀνάκρινε ἀγαθῇ τύχῃ.

2. **θέλεις . . . παραγάγωμεν**: for *βούλει* (poet. *θέλεις*) with subjv. in question of appeal see G. 1358; H. 866, 3, b; B. 577. — **κομήτην**: for the custom cf. Gulick, p. 175, and Morgan's *Lysias*, 16, 18. — **Ἰωνικόν**: Pythagoras was born at Samos, hence the use of the Ionic dialect. — **σεμνός τις**: *one of your reverend* (*gentlemen*). Cf. on *Somn.* 1. — **Οὗτος**: *you.* Often used in direct address with or without *σύ* or *ὦ*. Cf. Aristophanes and the tragedians passim. — **κατάβηθι**: strictly of descending into the arena, then generalized; cf. Hdt. 5, 22 *Ἀλεξάνδρου γὰρ ἀεθλεύειν στελλομένου καὶ καταβάντος ἐπ' αὐτὸ τοῦτο.* Pythagoras was once an athlete himself; hence, in *Gall.* 8, the Cock (i.e. Pythagoras) complains of the five beans tossed to him for his supper as "not a very sumptuous banquet *ἀλεκτρυόνι ἀθλητῇ ποτε γενομένῳ καὶ Ὀλύμπια οὐκ ἀφανῶς ἀγωνισαμένῳ.*" — **τίς ὑπὲρ . . . ἀναβιῶναι**: Hermes reels off the conventional list of Pythagoras's peculiarities — his rather arrogant assumption of superior knowledge; the music of the spheres; rebirth, etc. Note the auctioneer's crisp asyndeton and anaphora. — **ΑΓΟΡΑΣΤΗΣ**: *customer*, see App. — **Ἀριθμητικήν κτλ.**: as the *ἀρχή* of Thales was water, of Anaximander *τὸ ἄπειρον*, of Heracleitus fire, so that of Pythagoras was number, and his philosophical attitude has been described as "Mathematical Imagination." Note that Lucian's list consists of two sets of three, each ending with an anticlimax. — **ἄκρον**: *tip-top.*

3 ΑΓΟ. Ποδαπὸς εἶ σύ;

ΠΥΘ. Σάμιος.

ΑΓΟ. Ποῦ δὲ ἐπαιδεύθης;

ΠΥΘ. Ἐν Αἰγύπτῳ παρὰ τοῖς ἐκεῖ σοφοῖσι.

ΑΓΟ. Φέρε δή, ἢν πρίωμαί σε, τί με διδάξεις;

ΠΥΘ. Διδάξομαι μὲν οὐδέν, ἀναμνήσω δέ.

ΑΓΟ. Πῶς ἀναμνήσεις;

ΠΥΘ. Καθαρὴν πρότερον τὴν ψυχὴν ἐργασάμενος καὶ τὸν ἐπ᾽ αὐτῇ ῥύπον ἐκκλύσας.

ΑΓΟ. Καὶ δὴ νόμισον ἤδη κεκαθάρθαι με, τίς ὁ τρόπος τῆς ἀναμνήσεως;

ΠΥΘ. Τὸ μὲν πρῶτον ἡσυχίη μακρὴ καὶ ἀφωνίη καὶ πέντε ὅλων ἐτέων λαλέειν μηδέν.

3. **Ἐν Αἰγύπτῳ**: see Fairbanks, *The First Philosophers of Greece*, p. 154. — **σοφοῖσι**: Lucian avails himself of the Ionic forms both here and below to give local color. See Introd. 40. — **Διδάξομαι**: see App. to *Somn.* 2. — **ἀναμνήσω**: for Plato's development of the doctrine of *ἀνάμνησις* see *Meno*, 81 ff., where the slave is *reminded*, not *taught*, that "the square on the hypotenuse" etc. Cf. *Phaedo* 18. The English poets, with the instinct of the idealist, have seized upon the doctrine of reminiscence. So Henry Vaughn in *The Retreat*, or in *Friends Departed:*

O Father of eternal life, and all
  Created glories under Thee!
Resume Thy spirit from this world of thrall
  Into true liberty.

Wordsworth elaborates the thought in his *Ode on Immortality*, and so on to the oft-recurring touches in Matthew Arnold, e.g. *Revolutions*, and in *Morality* where Nature herself is personified:

I knew not yet the gauge of time
Nor wore the manacles of space;
I felt it in some other clime,
I saw it in some other place.
  'Twas when the heavenly house I trod,
  And lay upon the breast of God.

— **ψυχὴν . . . ἐκκλύσας**: the Pythagoreans were said to be less particular about bodily cleanliness. Cf. Aristophon *Fragm. Pythagoristes*, 4, 5:

. . . *μόνοισι γὰρ*
τούτοισι τὸν Πλούτωνα συσσιτεῖν ἔφη
δι᾽ εὐσέβειαν. B. *εὐχερῆ θεὸν λέγεις*
εἰ τοῖς ῥύπου μεστοῖσιν ἥδεται ξυνών.

— **κεκαθάρθαι**: note force of tense. Cf. Introd. 34 (*a*). — **ἡσυχίη**: often referred to. Cf. Fairbanks l.c. So the Cock (*Gall.* 4) is accused of breaking the Pythagorean commandment which was second only to the first and greatest (*παντελῶς παράνομον*) about eating beans: *λάλος εἶ καὶ κρακτικός, ὁ δὲ* (i.e. Pythagoras) *σιωπᾶν ἐς πέντε ὅλα ἔτη,*

ΑΓΟ. Ὥρα σοι, ὦ βέλτιστε, τὸν Κροίσου παῖδα παιδεύειν· ἐγὼ γὰρ λάλος, οὐκ ἀνδριὰς εἶναι βούλομαι. τί δὲ μετὰ τὴν σιωπὴν ὅμως καὶ τὴν πενταετίαν;

ΠΥΘ. Μουσουργίῃ καὶ γεωμετρίῃ ἐνασκήσεαι.

ΑΓΟ. Χάριεν λέγεις, εἰ πρῶτόν με κιθαρῳδὸν γενόμενον κᾆτα εἶναι σοφὸν χρή.

4 ΠΥΘ. Εἶτ᾽ ἐπὶ τουτέοισιν ἀριθμέειν.

ΑΓΟ. Οἶδα καὶ νῦν ἀριθμεῖν.

ΠΥΘ. Πῶς ἀριθμέεις;

ΑΓΟ. Ἕν, δύο, τρία, τέτταρα.

ΠΥΘ. Ὁρᾷς; ἃ σὺ δοκέεις τέσσερα, ταῦτα δέκα ἐστὶ καὶ τρίγωνον ἐντελὲς καὶ ἡμέτερον ὅρκιον.

ΑΓΟ. Οὐ μὰ τὸν μέγιστον τοίνυν ὅρκον τὰ Τέτταρα, οὔποτε θειοτέρους λόγους ἤκουσα οὐδὲ μᾶλλον ἱερούς.

ΠΥΘ. Μετὰ δέ, ὦ ξεῖνε, εἴσεαι γῆς τε πέρι καὶ ἠέρος καὶ

οἶμαι, παρῄνει. — **Κροίσου παῖδα**: cf. Hdt. 1, 85, where the son of Croesus, hitherto a mute, cries out, as a soldier is about to kill his father: *μὴ κτεῖνε Κροῖσον.* — **ἀνδριάς**: the conventional mute was the fish. In *Gall.* 1 the Cock, as if in his character as Pythagoras, promises to be *ἀφωνότερος τῶν ἰχθύων.* Cf. *adv. Indoct.* 16; *Pisc.* 51; and Hor. *Carm.* 4, 3, 10 mutis piscibus. The more modern *ἀνδριάντος ἀφωνότερος* also occurs. — **πενταετίαν**: cf. *διετία, τριετία, ἑκατονταετία.* Also forms in *-ετηρίς*, e.g. *ἑκατονταετηρίς.* — **Χάριεν**: adv. from *χαρίεν.* Cf. *ἄληθες*; and *ἀληθές.*

4. ἀριθμεῖν: as the purchaser has just taken *μουσουργίη* in its most limited sense, so Lucian's mischief gives a still more inadequate account of the Pythagorean science of numbers. — **Ἕν**: neuter used in counting; so in German, *eins.* Cf. Lat. undecim (for unum decem). — **Ὁρᾷς**: *there now!* Cf. *Peregr.* 45. — **δέκα . . . τρίγωνον**: i.e. 4 + 3 + 2 + 1 ∴∴ *four* rows and each side of triangle consisting of *four* dots. See Fairbanks, op. cit., pp. 144 and 152. — **ἡμέτερον ὅρκιον**: cf. *Catapl.* 11, where the tyrant says of his parasites *καὶ ὅλως, ὅρκος αὐτοῖς ἦν ἐγώ*, also *de Calum.* 17 *καὶ ὁ μέγιστος ὅρκος ἦν ἅπασιν Ἡφαιστίων.* — **οὐ μὰ . . . Τέτταρα**: *now by your greatest oath-pledge, Number Four.* — **γῆς . . . πυρός**: if Lucian means to attribute to Pythagoras as a technical term the "four elements" of Empedocles (ca. 444 B.C.), he betrays here also his superficial acquaintance with the history of philosophy. Heracleitus, however (cf. *Fragm.* 25), recognized these four as fundamental. — **ἡ φορή**: *rotation.* Cf. infra § 13 *ἀτόμων φορή.* Always used in this passive sense by Plato except in *Rep.* 546 B. Cf. also

ὕδατος καὶ πυρὸς ἥτις αὐτέοισιν ἡ φορὴ καὶ ὁκοῖα ἐόντα μορφὴν ὅκως κινέονται.

ΑΓΟ. *Μορφὴν γὰρ ἔχει τὸ πῦρ ἢ ἀὴρ ἢ ὕδωρ;*

ΠΥΘ. *Καὶ μάλα ἐμφανέα· οὐ γὰρ οἷά τε ἀμορφίῃ καὶ ἀσχημοσύνῃ κινέεσθαι. ἐπὶ τουτέοισι δὲ γνώσεαι τὸν θεὸν ἀριθμὸν ἐόντα καὶ νόον καὶ ἁρμονίην.*

ΑΓΟ. *Θαυμάσια λέγεις.*

5 ΠΥΘ. *Πρὸς δὲ τοῖσδεσι τοῖσιν εἰρημένοισι καὶ σεωυτὸν ἕνα δοκέοντα καὶ ἄλλον ὁρεόμενον καὶ ἄλλον ἐόντα εἴσεαι.*

ΑΓΟ. *Τί φῄς; ἄλλος εἰμὶ καὶ οὐχ οὗτος ὅσπερ νῦν πρὸς σὲ διαλέγομαι;*

ΠΥΘ. *Νῦν μὲν οὗτος, πάλαι δὲ ἐν ἄλλῳ σώματι καὶ ἐν ἄλλῳ οὐνόματι ἐφαντάζεο· χρόνῳ δὲ αὖτις ἐς ἄλλον μεταβήσεαι.*

ΑΓΟ. *Τοῦτο φῄς, ἀθάνατον ἔσεσθαί με ἀλλαττόμενον ἐς*

Schmid, I, 139 and 297. — **ὁκοῖα . . . ὅκως**: for double interr. cf. *Somn.* 12, note. — **ἀμορφίῃ καὶ ἀσχημοσύνῃ**: Lucian quarries his technical terms where he can. This pair seems to be a reminiscence of Arist. *Phys.* 1, 7, 8. The mere pairing of words often gives a certain flavor (cf. "humble and lowly," Book of Common Prayer), and *δέος* and *φόβος* (Plato *Protag.* 358 D), rhetorically, do not need the probe of Prodicus. — **τὸν θεὸν ἀριθμόν**: Athena was represented by the equilateral triangle (see note on § 4, above), and *Four*, as well as being the "great oath," was the sign of Divinity in general. Apollo was represented by *one*, Discord by *two*, Justice by *three*. — **νόον**: this seems to anticipate Plato, or Anaxagoras and his *νοῦς* arranging Chaos into Cosmos. But if Pythagoras was the first (see Burnet, *Early Greek Philosophy*, p. 107) to use the term *κόσμος*, he may also have touched upon the Cosmos-compelling *νοῦς*. His contemporary Anaximenes, indeed, takes pains to state that the "World (or God), though sentient all over, does not *breathe*." This breathing soul of the universe was a conception of the Hindus, even before the close of Vedic times. Cf. *Rigveda* 10, 129 (Kaegi, p. 90):

> Alone that One breathed calmly, self-supported,
> Other than It was none, nor aught above it.

5. **ὁρεόμενον**: $=$ *φαινόμενον*. See App. and Helm *Neue Jahrbücher* 9, 1902, p. 192. — **ἐφαντάζεο . . . μεταβήσεαι**: cf. *Gall.* 16, where the Cock ($=$Pythagoras) gives the shoemaker the autobiography of his transformations. — **ἀθάνατον**: for the popular attitude, in the second century of our era, towards a belief in immortality, cf. Lucian's

6 μορφὰς πλείονας; ἀλλὰ ταῦτα μὲν ἱκανῶς. τὰ δ' ἀμφὶ δίαιταν ποῖος εἶ;

ΠΥΘ. Ἐμψυχήιον μὲν οὐδὲ ἓν σιτέομαι, τὰ δ' ἄλλα πλὴν κυάμων.

ΑΓΟ. Τίνος εἵνεκα; ἢ μυσάττῃ τοὺς κυάμους;

ΠΥΘ. Οὔκ, ἀλλὰ ἱροί εἰσι καὶ θωυμαστὴ αὐτέων ἡ φύσις· πρῶτον μὲν γὰρ τὸ πᾶν γονή εἰσι, καὶ ἢν ἀποδύσῃς κύαμον ἔτι χλωρὸν ἐόντα, ὄψεαι τοῖσιν ἀνδρηίοισι μορίοισιν ἐμφερέα τὴν φυήν· ἑψηθέντα δὲ ἢν ἀφῇς ἐς τὴν σεληναίην νυξὶ μεμετρημένῃσιν, αἷμα ποιέεις. τὸ δὲ μεῖζον, Ἀθηναίοισι νόμος κυάμοισι τὰς ἀρχὰς αἱρέεσθαι.

ΑΓΟ. Καλῶς πάντα ἔφης καὶ ἱεροπρεπῶς. ἀλλὰ ἀπόδυθι, καὶ γυμνὸν γάρ σε ἰδεῖν βούλομαι. ὦ Ἡράκλεις, χρυσοῦς αὐτῷ ὁ μηρός ἐστι. θεός, οὐ βροτός τις εἶναι φαίνεται· ὥστε ὠνήσομαι πάντως αὐτόν. πόσου τοῦτον ἀποκηρύττεις;

ΕΡΜ. Δέκα μνῶν.

patronizing reference to the Christians, *Peregr.* 13. In general cf. Friedländer, *Sittengeschichte Roms*, III, c. 6; A. G. Harkness, *Roman Scepticism and Fatalism*, Trans. Amer. Phil. Assoc. 1899, pp. 56 ff.

6. **Ἐμψυχήιον οὐδὲ ἓν**: *not a thing that hath the breath of life.* A corollary of the doctrine of transmigration (see Fairbanks op. cit., pp. 154–155). Cf. E. Arnold, *Light of Asia*, Book VIII:

Kill not — for pity's sake — and lest ye slay
The meanest thing upon its upward way.

also end of Book VI. — **κυάμων**: this sumptuary law of Pythagoras is cited ad nauseam. Lucian hints that he broke his own commandments both when incarnate as a cock (cf. *Gall.* 4, where the shoemaker says to the cock: οὐ γὰρ ἔχων ὅ τι σοι παραβάλοιμι, κυάμους χθὲς ἧκον ἔχων, καὶ σὺ οὐδὲ μελλήσας ἀνέλεξας αὐτούς) and in the underworld, cf. *D. Mort.* 20, where he begs Menippus to give him of his beans: "Other laws," he says, "in other worlds" — ἄλλα παρὰ νεκροῖς δόγματα· ἔμαθον γάρ, ὡς οὐδὲν ἴσον κύαμοι καὶ κεφαλαὶ τοκήων ἐνθάδε. — **μυσάττῃ**: cf. *V. H.* B 24 μυσαττόμενος τὴν κυαμοφαγίαν. — **Οὔκ**: *it's not that.* — **νυξὶ μεμετρημένῃσιν**: certo numero noctium, Reitz. For these statements cf. Fairbanks, op. cit., p. 154. — **αἷμα ποιέεις**: cf. Fritzsche ad loc. — **νόμος . . . αἱρέεσθαι**: see L. & S. s.v. ψῆφος 4, d. — **ἔφης**: Introd. 14 (*b*). — **ὁ μηρός**: in the underworld his whole right side is aurified. Cf. *V. H.* B 21. — **Δέκα μνῶν**:

ΑΓΟ. Ἔχω τοσούτου λαβών.

ΖΕΥΣ. Γράφε τοῦ ὠνησαμένου τοὔνομα καὶ ὅθεν ἐστίν.

ΕΡΜ. Ἰταλιώτης, ὦ Ζεῦ, δοκεῖ τις εἶναι τῶν ἀμφὶ Κρότωνα καὶ Τάραντα καὶ τὴν ταύτῃ Ἑλλάδα· καίτοι οὐχ εἷς, ἀλλὰ τριακόσιοι σχεδὸν ἐώνηνται κατὰ κοινὸν αὐτόν.

ΖΕΥΣ. Ἀπαγέτωσαν· ἄλλον παραγάγωμεν.

7 ΕΡΜ. Βούλει τὸν αὐχμῶντα ἐκεῖνον, τὸν Ποντικόν;

ΖΕΥΣ. Πάνυ μὲν οὖν.

ΕΡΜ. Οὗτος ὁ τὴν πήραν ἐξηρτημένος, ὁ ἐξωμίας, ἐλθὲ καὶ περίιθι ἐν κύκλῳ τὸ συνέδριον. βίον ἀνδρικὸν πωλῶ, βίον ἄριστον καὶ γεννικόν, βίον ἐλεύθερον· τίς ὠνήσεται;

ΑΓΟ. Ὁ κῆρυξ πῶς ἔφης; πωλεῖς τὸν ἐλεύθερον;

ΕΡΜ. Ἔγωγε.

ΑΓΟ. Εἶτα οὐ δέδιας μή σοι δικάσηται ἀνδραποδισμοῦ ἢ καὶ προσκαλέσηταί σε ἐς Ἄρειον Πάγον;

ΕΡΜ. Οὐδὲν αὐτῷ μέλει τῆς πράσεως· οἴεται γὰρ εἶναι παντάπασιν ἐλεύθερος.

ΑΓΟ. Τί δ' ἄν τις αὐτῷ χρήσαιτο ῥυπῶντι καὶ οὕτως

note the varying prices paid. Socrates (see above, p. 90) commands a price that might have saved him from the hemlock — two talents being four times the amount proposed at the trial. — **Ἔχω τοσούτου λαβών**: *he's mine at that price.* Cf. here and passim Sheridan, *School for Scandal*, iv, 1. — **ὠνησαμένου**: for form see Introd. 19. — **Ἰταλιώτης** κτλ.: for life of Pythagoras see p. 92. — **τριακόσιοι**: i.e. the Pythagorean brotherhood.

7. Ποντικόν: Diogenes the Cynic was born at Sinope on the Pontus Euxinus about 412 B.C. — **ἐξωμίας**: the ἐξωμίς (Gulick, p. 161), leaving the right shoulder bare, was the usual dress for the poorer classes and for slaves, and hence affected by the Cynics. The Cynic's portrait here touched off — the wallet, the bare arm, the club, the gloomy look, the unkempt, unwashed exterior, the affectation of manliness and freedom — recurs again and again. The old cloak (τρίβων) and the long beard are usually included. — **ἀνδραποδισμοῦ**: *kidnapping.* An action might be brought for kidnapping freemen or other people's slaves. The court of the Areopagus had jurisdiction — penalty, death. Cf. the amusing scene in Lys. 23, 9. — **Οὐδὲν . . . μέλει**: when put up at auction (see Diog. Laert. 6, 2, 4), Diogenes said to the auctioneer: κήρυσσε, εἴ τις ἐθέλει δεσπότην αὑτῷ πρίασθαι· κωλυθεὶς καθίζεσθαι, Οὐδέν,

κακοδαιμόνως διακειμένῳ; πλὴν εἰ μὴ σκαπανέα γε καὶ ὑδροφόρον αὐτὸν ἀποδεικτέον.

ΕΡΜ. Οὐ μόνον, ἀλλὰ καὶ ἢν θυρωρὸν αὐτὸν ἐπιστήσῃς, πολὺ πιστοτέρῳ χρήσῃ τῶν κυνῶν. ἀμέλει κύων αὐτῷ καὶ τοὔνομα.

ΑΓΟ. Ποδαπὸς δέ ἐστι καὶ τίνα τὴν ἄσκησιν ἐπαγγέλλεται;

ΕΡΜ. Αὐτὸν ἐροῦ· κάλλιον γὰρ οὕτω ποιεῖν.

ΑΓΟ. Δέδια τὸ σκυθρωπὸν αὐτοῦ καὶ κατηφές, μή με ὑλακτήσῃ προσελθόντα ἢ καὶ νὴ Δία δάκῃ γε. οὐχ ὁρᾷς ὡς διῆρται τὸ ξύλον καὶ συνέσπακε τὰς ὀφρῦς καὶ ἀπειλητικόν τι καὶ χολῶδες ὑποβλέπει;

ΕΡΜ. Μὴ δέδιθι· τιθασὸς γάρ ἐστι.

8 ΑΓΟ. Τὸ πρῶτον, ὦ βέλτιστε, ποδαπὸς εἶ;

ΔΙΟΓΕΝΗΣ. Παντοδαπός.

ΑΓΟ. Πῶς λέγεις;

ΔΙΟΓ. Τοῦ κόσμου πολίτην ὁρᾷς.

ἔφη, διαφέρει· καὶ γὰρ τοὺς ἰχθῦς ὅπως ἂν κέοιντο πιπράσκεσθαι. — **πλὴν εἰ**: see Introd. 24 (*a*). — **ὑδροφόρον**: cf. "hewers of wood and drawers of water." With the *ὑδροφορία* one is apt to associate women. At the Panathenaea this task was performed by the wives of the *μέτοικοι* for the wives of the Athenians. For the degradation of the daughter of King Psammetichus, cf. Hdt. 3, 14. See note to *D. Mar.* 6, 1. — **θυρωρόν**: see Plato *Protag.* 314 c for the officious door-tender. In Roman times the janitor was chained to his post; cf. Ovid *Am.* 1, 6, 1: Janitor, indignum, dura religate catena — which fills out the detail of Lucian's cave canem joke. The pun *κυνικός*, *κύων*, is a conventional one. Cf. *de Luctu* 4; *D. Mort.* 20, 1, and 21, 1, where Menippus the Cynic fraternizes with Cerberus as kin of the same kennel: Ὦ Κέρβερε — συγγενὴς γάρ εἰμί σοι κύων καὶ αὐτὸς ὤν. — **ἄσκησιν**: cf. *Toxaris* 27 τὴν ἄσκησιν τὴν Κυνικὴν ἀσκούμενος, *trained as a professional Cynic.* Cf. *Pisc.* 45. — **διῆρται**: mid. voice. ξύλον is acc. case. Cf. Plut. *Lysander* 15 τὴν βακτηρίαν διαράμενος.

8. **ποδαπὸς . . . Παντοδαπός**: Theodorus Prodromus (see p. 93) in selling off Homer does not miss this suggestion: ὁποδαπὸς τὴν διάλεκτον εἶ; Homer answers: παντοδαπός. — **ΔΙΟΓΕΝΗΣ**: Diogenes was known as ὁ μαινόμενος Σωκράτης. — **κόσμου πολίτην**: for the Stoic's "universal commonwealth of mind," as Fronto expounded it, cf.

ΑΓΟ. Ζηλοῖς δὲ τίνα;

ΔΙΟΓ. Τὸν Ἡρακλέα.

ΑΓΟ. Τί οὖν οὐχὶ καὶ λεοντῆν ἀμπέχῃ; τὸ μὲν γὰρ ξύλον ἔοικας αὐτῷ.

ΠΛΑΤ. Ληρεῖς. σὲ δὲ τήμερον χρὴ ἀπολωλέναι, καὶ ἤδη γε

λάινον ἕσσο χιτῶνα κακῶν ἕνεχ᾽ ὅσσα ἔοργας.

ΛΟΥΚ. Καὶ μήν, ὦ ἄριστοι, ὃν ἐχρῆν μόνον ἐξ ἁπάντων ἐπαινεῖν οἰκεῖόν τε ὑμῖν ὄντα καὶ εὔνουν καὶ ὁμογνώμονα καί, εἰ μὴ φορτικὸν εἰπεῖν, κηδεμόνα τῶν ἐπιτηδευμάτων, εὖ ἴστε ἀποκτενοῦντες, ἢν ἐμὲ ἀποκτείνητε τοσαῦτα περὶ ὑμῶν πεπονηκότα. ὁρᾶτε οὖν μὴ τὸ τῶν νῦν φιλοσόφων αὐτὸ ποιεῖτε, ἀχάριστοι καὶ ὀργίλοι καὶ ἀγνώμονες φαινόμενοι πρὸς ἄνδρα εὐεργέτην.

ΠΛΑΤ. Ὢ τῆς ἀναισχυντίας. καὶ χάριν σοι τῆς κακηγορίας προσοφείλομεν; οὕτως ὡς ἀνδραπόδοις ἀληθῶς οἴει διαλέγεσθαι καὶ εὐεργεσίαν καταλογιῇ πρὸς ἡμᾶς ἐπὶ τῇ τοσαύτῃ ὕβρει καὶ παροινίᾳ τῶν λόγων;

6 ΛΟΥΚ. Ποῦ γὰρ ἐγὼ ὑμᾶς ἢ πότε ὕβρικα, ὃς ἀεὶ φιλοσοφίαν τε θαυμάζων διατετέλεκα καὶ ὑμᾶς αὐτοὺς ὑπερεπαινῶν καὶ τοῖς λόγοις οὓς καταλελοίπατε ὁμιλῶν; αὐτὰ γοῦν ἃ φημι ταῦτα, πόθεν ἄλλοθεν ἢ παρ᾽ ὑμῶν λαβὼν καὶ κατὰ τὴν μέλιτταν ἀπανθισάμενος ἐπιδείκνυμαι τοῖς ἀνθρώποις; οἱ δὲ ἐπαινοῦσι καὶ γνωρίζουσιν ἕκαστον τὸ ἄνθος ὅθεν καὶ παρ᾽ ὅτου καὶ ὅπως ἀνελεξάμην, καὶ λόγῳ μὲν ἐμὲ ζηλοῦσι τῆς ἀνθολογίας, τὸ δ᾽ ἀληθὲς ὑμᾶς καὶ τὸν λειμῶνα τὸν ὑμέτερον, οἳ τοιαῦτα ἐξηνθήκατε ποικίλα καὶ πολυειδῆ τὰς βαφάς, εἴ τις ἀναλέξασθαί τε αὐτὰ ἐπίσταιτο καὶ ἀναπλέξαι

present, see Gildersleeve, *S.C.G.* 262, GMT. 60. Cf. § 39 *προσεκύνησα*. — **λάινον ἕσσο . . .**: *Il.* 3, 57 (in *Il.* *ἕσσο* is plpf. with *κέν* in v. 56, here it is imv. pf.):

Frock'd you shall be in a tunic of stone for your wicked behavior.

6. κατὰ τὴν μέλιτταν ἀπανθισάμενος . . . λειμῶνα: for the figure of the bee and the meadow cf. Eur. *Hippol.* 73–81:

οὔτ᾽ ἦλθέ πω σίδηρος, ἀλλ᾽ ἀκήρατον
μέλισσα λειμῶν᾽ ἐαρινὸν διέρχεται.

This whole passage is Lucian's elaborate self-justification for his Atticizing art. Cf. Introd. p. xv. — **οἳ τοιαῦτα ἐξηνθήκατε**: the verb is construed here

καὶ ἁρμόσαι, ὡς μὴ ἀπᾴδειν θάτερον θατέρου. ἔσθ᾿ ὅστις οὖν ταῦτα εὖ πεπονθὼς παρ᾿ ὑμῶν κακῶς ἂν εἰπεῖν ἐπιχειρήσειεν εὐεργέτας ἄνδρας, ἀφ᾿ ὧν ἤδη τις εἶναι ἔδοξεν; ἐκτὸς εἰ μὴ κατὰ τὸν Θάμυριν ἢ τὸν Εὔρυτον εἴη τὴν φύσιν, ὡς ταῖς Μούσαις ἀντᾴδειν, παρ᾿ ὧν εἰλήφει τὴν ᾠδήν, ἢ τῷ Ἀπόλλωνι ἐριδαίνειν ἐναντία τοξεύων, καὶ ταῦτα δοτῆρι ὄντι τῆς τοξικῆς.

7 ΠΛΑΤ. Τοῦτο μέν, ὦ γενναῖε, κατὰ τοὺς ῥήτορας εἴρηταί σοι· ἐναντιώτατον δ᾿ οὖν ἐστί σοι τῷ πράγματι καὶ χαλεπωτέραν σου ἐπιδείκνυσι τὴν τόλμαν, εἴ γε τῇ ἀδικίᾳ καὶ ἀχαριστίᾳ πρόσεστιν, ὃς παρ᾿ ἡμῶν τὰ τοξεύματα, ὡς φῄς, λαβὼν καθ᾿ ἡμῶν ἐτόξευες, ἕνα τοῦτον ὑποθέμενος τὸν σκοπόν, ἅπαντας ἡμᾶς ἀγορεύειν κακῶς· τοιαῦτα παρὰ σοῦ ἀπειλήφαμεν ἀνθ᾿ ὧν σοι τὸν λειμῶνα ἐκεῖνον ἀναπετάσαντες οὐκ ἐκωλύσαμεν δρέπεσθαι καὶ τὸ προκόλπιον ἐμπλησάμενον ἀπελθεῖν· ὥστε διά γε τοῦτο δίκαιος εἶ ἀποθανεῖν.

8 ΛΟΥΚ. Ὁρᾶτε; πρὸς ὀργὴν ἀκούετε καὶ οὐδὲν τῶν δικαίων προσίεσθε. καίτοι οὐκ ἂν ᾠήθην ποτὲ ὡς ὀργὴ Πλάτωνος ἢ Χρυσίππου ἢ Ἀριστοτέλους ἢ τῶν ἄλλων ὑμῶν καθίκοιτο ἄν, ἀλλά μοι ἐδοκεῖτε μόνοι δὴ πόρρω εἶναι τοῦ τοιούτου. πλὴν ἀλλὰ μὴ ἄκριτόν γε, ὦ θαυμάσιοι, μηδὲ πρὸ δίκης ἀποκτείνητέ με· ὑμέτερον γοῦν καὶ τοῦτο ἦν, μὴ βίᾳ μηδὲ κατὰ τὸ ἰσχυρότερον πολιτεύεσθαι, δίκῃ δὲ τὰ διάφορα διαλύεσθαι διδόντας λόγον καὶ δεχομένους ἐν τῷ μέρει. ὥστε δικαστὴν ἑλόμενοι κατηγορήσατε μὲν ὑμεῖς ἢ ἅμα πάντες ἢ ὅντινα ἂν χειροτονήσητε ὑπὲρ ἁπάντων, ἐγὼ δὲ ἀπολογήσομαι πρὸς τὰ ἐγκλήματα, καὶ ἢν μὲν ἀδικῶν φαίνωμαι καὶ

with the cognate acc., but see note to *V.H.* B, 30.

7. **παρ᾿ ἡμῶν τὰ τοξεύματα**: cf. Aesch. *Fragm.* 139 (Sidgwick) where the wounded eagle says: *τάδ᾿ οὐχ ὑπ᾿ ἄλλων, ἀλλὰ τοῖς αὑτῶν πτεροῖς ἁλισκόμεσθα*, and Aesop *Fab.* 4 *καὶ τοῦτό μοι ἑτέρα λύπη, τὸ τοῖς ἰδίοις πτεροῖς ἐναποθνῄσκειν*. The same thought in *Bis Acc.* 29 *ἀγνῶμον γὰρ ἐπ᾿ ἐμὲ τὴν ἐμὴν μάχαιραν ἀκονᾶν.*

τοῦτο περὶ ἐμοῦ γνῷ τὸ δικαστήριον, ὑφέξω δηλαδὴ τὴν ἀξίαν. ὑμεῖς δὲ βίαιον οὐδὲν τολμήσετε· ἢν δὲ τὰς εὐθύνας ὑποσχὼν καθαρὸς ὑμῖν καὶ ἀνεπίληπτος εὑρίσκωμαι, ἀφήσουσί με οἱ δικασταί, ὑμεῖς δὲ ἐς τοὺς ἐξαπατήσαντας ὑμᾶς καὶ παροξύναντας καθ᾽ ἡμῶν τὴν ὀργὴν τρέψατε.

9 ΠΛΑΤ. Τοῦτ᾽ ἐκεῖνο. ἐς πεδίον τὸν ἵππον, ὡς παρακρουσάμενος τοὺς δικαστὰς ἀπέλθῃς· φασὶ γοῦν ῥήτορά σε καὶ δικανικόν τινα εἶναι καὶ πανοῦργον ἐν τοῖς λόγοις. τίνα δὲ καὶ δικαστὴν ἐθέλεις γενέσθαι, ὅντινα μὴ σὺ δωροδοκήσας, οἷα πολλὰ ποιεῖτε, ἄδικα πείσεις ὑπὲρ σοῦ ψηφίσασθαι;

ΛΟΥΚ. Θαρρεῖτε τούτου γε ἕνεκα· οὐδένα τοιοῦτον διαιτητὴν ὕποπτον ἢ ἀμφίβολον ἀξιώσαιμ᾽ ἂν γενέσθαι καὶ ὅστις ἀποδώσεταί μοι τὴν ψῆφον. ὁρᾶτε γοῦν, τὴν Φιλοσοφίαν αὐτὴν μεθ᾽ ὑμῶν δικάστριαν ποιοῦμαι ἔγωγε.

ΠΛΑΤ. Καὶ τίς ἂν κατηγορήσειεν, εἴ γε ἡμεῖς δικάσομεν;

ΛΟΥΚ. Οἱ αὐτοὶ κατηγορεῖτε καὶ δικάζετε· οὐδὲν οὐδὲ τοῦτο δέδια. τοσοῦτον ὑπερφέρω τοῖς δικαίοις καὶ ἐκ περιουσίας ἀπολογήσεσθαι ὑπολαμβάνω.

10 ΠΛΑΤ. Τί ποιῶμεν, ὦ Πυθαγόρα καὶ Σώκρατες; ἔοικε γὰρ οὐκ ἄλογα ὁ ἀνὴρ προκαλεῖσθαι, δικάζεσθαι ἀξιῶν.

ΣΩΚ. Τί δ᾽ ἄλλο ἢ βαδίζωμεν ἐπὶ τὸ δικαστήριον καὶ τὴν Φιλοσοφίαν παραλαβόντες ἀκούσωμεν ὅ τι καὶ ἀπολογήσεται; τὸ πρὸ δίκης γὰρ οὐχ ἡμέτερον, ἀλλὰ δεινῶς ἰδιωτικόν, ὀργίλων τινῶν ἀνθρώπων καὶ τὸ δίκαιον ἐν τῇ

9. **Τοῦτ᾽ ἐκεῖνο**: *there's that old dodge again!* — **ἐς πεδίον τὸν ἵππον**: sc. *προκαλεῖσθαι*. And so of the horseman in Plato *Theaet.* 183 D *ἱππέας εἰς πεδίον προκαλεῖ Σωκράτη εἰς λόγους προκαλούμενος.* For the thought cf. Uncle Remus's *Br'er Rabbit:* "Bred and bawn in a brier patch!" — **τοσοῦτον . . . ἐκ περιουσίας**: *from such a surplus.*

10. **τὸ πρὸ δίκης γάρ**: *for this prejudicating way* is not our style; or sc. *ἀποκτείνειν*, and cf. § 15 *πρὸ δίκης . . . ἀποκτενεῖτε*; — **δεινῶς ἰδιωτικόν**: *awfully unprofessional*, i.e. out of character for

χειρὶ τιθεμένων. παρέξομεν οὖν ἀφορμὰς τοῖς κακηγορεῖν ἐθέλουσι καταλεύσαντες ἄνδρα μηδὲ ἀπολογησάμενον ὑπὲρ ἑαυτοῦ, καὶ ταῦτα δικαιοσύνῃ χαίρειν αὐτοὶ λέγοντες. ἢ τί ἂν εἴποιμεν Ἀνύτου πέρι καὶ Μελήτου, τῶν ἐμοῦ κατηγορησάντων, ἢ τῶν τότε δικαστῶν, εἰ οὗτος τεθνήξεται μηδὲ τὸ παράπαν ὕδατος μεταλαβών;

ΠΛΑΤ. Ἄριστα παραινεῖς, ὦ Σώκρατες· ὥστε ἀπίωμεν ἐπὶ τὴν Φιλοσοφίαν. ἡ δὲ δικασάτω, καὶ ἡμεῖς ἀγαπήσομεν οἷς ἂν ἐκείνη διαγνῷ.

11 ΛΟΥΚ. Εὖ γε, ὦ σοφώτατοι, ἀμείνῳ ταῦτα καὶ νομιμώτερα. τοὺς μέντοι λίθους φυλάττετε, ὡς ἔφην· δεήσει γὰρ αὐτῶν μικρὸν ὕστερον ἐν τῷ δικαστηρίῳ. ποῦ δὲ τὴν Φιλοσοφίαν εὕροι τις ἄν; οὐ γὰρ οἶδα ἔνθα οἰκεῖ· καίτοι πολὺν ἐπλανήθην χρόνον ἀναζητῶν τὴν οἰκίαν, ὡς ξυγγενοίμην αὐτῇ. εἶτα ἐντυγχάνων ἄν τισι τριβώνια περιβεβλημένοις καὶ πώγωνας βαθεῖς καθειμένοις παρ᾽ αὐτῆς ἐκείνης ἥκειν φάσκουσιν, οἰόμενος εἰδέναι αὐτοὺς ἀνηρώτων· οἱ δὲ πολὺ μᾶλλον ἐμοῦ ἀγνοοῦντες ἢ οὐδ᾽ ὅλως ἀπεκρίνοντό μοι, ὡς μὴ ἐλέγχοιντο οὐκ εἰδότες, ἢ ἄλλην θύραν ἀντ᾽ ἄλλης ἀπεδείκνυον. οὐδέπω γοῦν καὶ τήμερον ἐξευρεῖν δεδύνημαι τὴν
12 οἰκίαν. πολλάκις δὲ ἢ αὐτὸς εἰκάσας ἢ ξεναγήσαντός τινος ἧκον ἂν ἐπί τινας θύρας βεβαίως ἐλπίσας τότε γοῦν εὑρηκέναι, τεκμαιρόμενος τῷ πλήθει τῶν ἐσιόντων τε καὶ ἐξιόντων, ἁπάντων σκυθρωπῶν καὶ τὰ σχήματα εὐσταλῶν καὶ φροντιστικῶν τὴν πρόσοψιν· μετὰ τούτων οὖν ξυμπαραβυσθεὶς καὶ αὐτὸς ἐσῆλθον. εἶτα ἑώρων γύναιόν τι οὐχ ἁπλοϊκόν, εἰ

philosophers. — **μηδὲ . . . ὕδατος μεταλαβών**: i.e. without a hearing. Cf. the references to the κλεψύδρα e.g. Lys. 23, 11–15 ἐπίλαβε τὸ ὕδωρ.

11. **ἂν . . . ἀνηρώτων**: G. 1296; H. 835; Gl. 461, *a*; B. 568. — **ἄλλην θύραν ἀντ᾽ ἄλλης**: *door after door*. Cf. S. John 1, 16 χάριν ἀντὶ χάριτος and (perhaps) Theognis 344 (249) ἀντ᾽ ἀνιῶν ἀνίας, *grief upon grief*. This meaning is also found with πρό, e.g. Ar. *Ach.* 325 γῆν πρὸ γῆς, *land after land*.

καὶ ὅτι μάλιστα ἐς τὸ ἀφελὲς καὶ ἀκόσμητον ἑαυτὴν ἐρρύθμιζεν. ἀλλὰ κατεφάνη μοι αὐτίκα οὐδὲ τὸ ἄνετον δοκοῦν τῆς κόμης ἀκαλλώπιστον ἐῶσα οὐδὲ τοῦ ἱματίου τὴν ἀναβολὴν ἀνεπιτηδεύτως περιστέλλουσα· πρόδηλος δὲ ἦν κοσμουμένη αὐτοῖς καὶ πρὸς εὐπρέπειαν τῷ ἀθεραπεύτῳ δοκοῦντι προσχρωμένη. ὑπεφαίνετο δέ τι καὶ ψιμύθιον καὶ φῦκος καὶ τὰ ῥήματα πάντα ἑταιρικά· καὶ ἐπαινουμένη ὑπὸ τῶν ἐραστῶν ἐς κάλλος ἔχαιρε, καὶ εἰ δοίη τις, προχείρως ἐδέχετο, καὶ τοὺς πλουσιωτέρους ἂν παρακαθισαμένη πλησίον τοὺς πένητας τῶν ἐραστῶν οὐδὲ προσέβλεπεν. πολλάκις δὲ καὶ γυμνωθείσης αὐτῆς κατὰ τὸ ἀκούσιον ἑώρων περιδέραια χρυσᾶ τῶν κλοιῶν παχύτερα. ἐπὶ πόδα οὖν εὐθὺς ἀνέστρεφον οἰκτίρας δηλαδὴ τοὺς κακοδαίμονας ἐκείνους οὐ τῆς ῥινός, ἀλλὰ τοῦ πώγωνος ἑλκομένους πρὸς αὐτῆς καὶ κατὰ τὸν Ἰξίονα εἰδώλῳ ἀντὶ τῆς Ἥρας ξυνόντας.

13 ΠΛΑΤ. Τοῦτο μὲν ὀρθῶς ἔλεξας. οὐδὲ γὰρ πρόδηλος οὐδὲ πᾶσι γνώριμος ἡ θύρα. πλὴν ἀλλ' οὐδὲν δεήσει βαδίζειν ἐπὶ τὴν οἰκίαν· ἐνταῦθα γὰρ ἐν Κεραμεικῷ ὑπομενοῦμεν αὐτήν. ἣ δὲ ἤδη που ἀφίξεται ἐπανιοῦσα ἐξ Ἀκαδημίας, ὡς περιπατήσειε καὶ ἐν τῇ Ποικίλῃ· τοῦτο γὰρ ὁσημέραι ποιεῖν ἔθος αὐτῇ· μᾶλλον δὲ ἤδη προσέρχεται. ὁρᾷς τὴν

12. **τὸ ἄνετον δοκοῦν**: *what seemed her simplicity.* Cf. l. 176. — **ἑταιρικά**: *coquettish.* — **τῶν ἐραστῶν** (l. 181): for case see Introd. 31. — **κατὰ τὸ ἀκούσιον**: *as though accidentally.* *κατά* = *à la*; cf. below, *κατὰ τὸν Ἰξίονα*, *like Ixion.*

13. **ἐν Κεραμεικῷ**: the "potters' quarter" was divided by the wall of Themistocles into the outer and the inner Cerameicus. See map of Athens. Here the inner Cerameicus is meant. Philosophy, coming from the Academy by the most northerly of the three roads which converge at the Dipylon, would pass in by the gate and so on (by the site of the present Piraeus railroad station) through the Cerameicus to the Poecile Stoa. Cf. *Jupp. Trag.* 15, 16 where Zeus came up from Piraeus (and so reached the gate by the most southerly of the three roads) to take his evening constitutional (*ὡς περιπατήσαιμι τὸ δείλινον ἐν Κεραμεικῷ*) in the Cerameicus, and, deep in thought, came opposite the Poecile (*κατὰ τὴν Ποικίλην*). — **ὡς περιπατήσειε**: for opt.

κόσμιον τὴν ἀπὸ τοῦ σχήματος, τὴν προσηνῆ τὸ βλέμμα, τὴν ἐπὶ συννοίας ἠρέμα βαδίζουσαν;

ΛΟΥΚ. Πολλὰς ὁμοίας ὁρῶ τό τε σχῆμα καὶ τὸ βάδισμα καὶ τὴν ἀναβολήν. καίτοι μία πάντως ἥ γε ἀληθὴς Φιλοσοφία ἐστὶν ἐν αὐταῖς.

ΠΛΑΤ. Εὖ λέγεις. ἀλλὰ δηλώσει ἥτις ἐστὶ φθεγξαμένη μόνον.

14 ΦΙΛ. Παπαῖ· τί Πλάτων καὶ Χρύσιππος ἄνω καὶ Ἀριστοτέλης καὶ οἱ ἄλλοι πάντες, αὐτὰ δὴ τὰ κεφάλαιά μου τῶν μαθημάτων; τί αὖθις ἐς τὸν βίον; ἆρά τι ὑμᾶς ἐλύπει τῶν κάτω; ὀργιζομένοις γοῦν ἐοίκατε. καὶ τίνα τοῦτον ξυλλαβόντες ἄγετε; ἦ που τυμβωρύχος τις ἢ ἀνδροφόνος ἢ ἱερόσυλός ἐστι;

ΠΛΑΤ. Νὴ Δί', ὦ Φιλοσοφία, πάντων γε ἱεροσύλων ἀσεβέστατος, ὃς τὴν ἱερωτάτην σὲ κακῶς ἀγορεύειν ἐπεχείρησε καὶ ἡμᾶς ἅπαντας, ὁπόσοι τι παρὰ σοῦ μαθόντες τοῖς μεθ' ἡμᾶς καταλελοίπαμεν.

ΦΙΛ. Εἶτα ἠγανακτήσατε λοιδορησαμένου τινός, καὶ ταῦτα εἰδότες ἐμὲ οἷα πρὸς τῆς Κωμῳδίας ἀκούουσα ἐν τοῖς Διονυσίοις ὅμως φίλην τε αὐτὴν ἥγημαι καὶ οὔτε ἐδικασάμην οὔτε ᾐτιασάμην προσελθοῦσα, ἐφίημι δὲ παίζειν τὰ εἰκότα καὶ τὰ ξυνήθη τῇ ἑορτῇ; οἶδα γὰρ ὡς οὐκ ἄν τι ὑπὸ σκώμματος

after primary tense see Introd. 35. — **τὴν ἀπὸ τοῦ σχήματος**: *the one so well gotten-up*. Cf. perhaps Ar. *Pax* 241 and Introd. 30. See App. The phrase ἀπὸ τοῦ σχήματος recurs often, e.g. *D. Mort.* 10, 8; *Nigr.* 24. For use of prep. cf. Theocr. 16, 49 θῆλυν ἀπὸ χροιᾶς, *feminine, to judge by complexion.* — **φθεγξαμένη μόνον**: *the first syllable she utters.*

14. **αὐτὰ τὰ κεφάλαια**: *the very leaders* (of the profession). Cf. *Philops.* 6 ὁρᾷς οἵους ἄνδρας σοί φημι, πανσόφους καὶ παναρέτους, ὅ τι περ τὸ κεφάλαιον αὐτὸ ἐξ ἑκάστης προαιρέσεως; *d' ye see what sort of men I'm telling you of, regular experts and perfect saints — in fact the very cream of the different schools?* The same in *Symp.* 10, but see note to *Vit. Auct.* 18. — **οἷα . . . ἀκούουσα**: *whatall Comedy calls me!* For ἀκούειν used with εὖ, κακῶς, etc., or with cognate acc., as pass. of λέγειν, see L. & S. s.v., III, 1. Cf. ἠγόρευσε κακῶς § 15. — **οὐκ . . . ὑπὸ σκώμματος χεῖρον**: so Socrates

χεῖρον γένοιτο, ἀλλὰ τοὐναντίον ὅπερ ἂν ᾖ καλόν, ὥσπερ τὸ χρυσίον ἀποσμώμενον τοῖς κόμμασι λαμπρότερον ἀποστίλβει καὶ φανερώτερον γίνεται. ὑμεῖς δ᾽ οὐκ οἶδ᾽ ὅπως ὀργίλοι καὶ ἀγανακτικοὶ γεγόνατε. τί δ᾽ οὖν αὐτὸν ἄγχετε;

ΠΛΑΤ. Μίαν ἡμέραν ταύτην παραιτησάμενοι ἥκομεν ἐπ᾽ αὐτόν, ὡς ὑπόσχῃ τὴν ἀξίαν ὧν δέδρακε· φῆμαι γὰρ ἡμῖν διήγγελλον οἷα ἔλεγεν ἐπιὼν ἐς τὰ πλήθη καθ᾽ ἡμῶν.

15 ΦΙΛ. Εἶτα πρὸ δίκης οὐδὲ ἀπολογησάμενον ἀποκτενεῖτε; δῆλος γοῦν ἐστιν εἰπεῖν τι θέλων.

ΠΛΑΤ. Οὔκ, ἀλλ᾽ ἐπὶ σὲ τὸ πᾶν ἀνεβαλόμεθα. καὶ σοὶ ὅ τι ἂν δοκῇ, τοῦτο ποιήσῃ τέλος τῆς δίκης.

ΦΙΛ. Τί φῂς σύ;

ΛΟΥΚ. Τοῦτο αὐτό, ὦ δέσποινα Φιλοσοφία, ἥπερ καὶ μόνη τἀληθὲς ἂν εὑρεῖν δύναιο· μόγις γοῦν εὑρόμην πολλὰ ἱκετεύσας τὸ σοὶ φυλαχθῆναι τὴν δίκην.

ΠΛΑΤ. Νῦν, ὦ κατάρατε, δέσποιναν αὐτὴν καλεῖς; πρῴην δὲ τὸ ἀτιμότατον Φιλοσοφίαν ἀπέφαινες ἐν τοσούτῳ θεάτρῳ ἀποκηρύττων κατὰ μέρη δύ᾽ ὀβολῶν ἕκαστον εἶδος αὐτῆς τῶν λόγων.

ΦΙΛ. Ὁρᾶτε μὴ οὐ Φιλοσοφίαν οὗτός γε, ἀλλὰ γόητας ἄνδρας ἐπὶ τῷ ἡμετέρῳ ὀνόματι πολλὰ καὶ μιαρὰ πράττοντας ἠγόρευσε κακῶς.

ΠΛΑΤ. Εἴσῃ αὐτίκα, ἢν ἐθέλῃς ἀκούειν ἀπολογουμένου μόνον.

ΦΙΛ. Ἀπίωμεν ἐπ᾽ Ἄρειον πάγον, μᾶλλον δὲ ἐς τὴν ἀκρόπολιν αὐτήν, ὡς ἂν ἐκ περιωπῆς ἅμα καταφανῆ πάντα εἴη τὰ

seems to have felt no rancor towards Aristophanes on account of the *Clouds*. See Humphreys, Introd. to *Clouds*, § 10, note. — **διήγγελλον**: note voice. Φῆμαι, although pl., almost personified as in sing.

15. **εὑρόμην**: *I procured for myself.* — **ἐν τοσούτῳ θεάτρῳ**: *in the presence of such a crowd of spectators;* so § 36 fin. *by the house.* — **ὡς ἂν εἴη**: see Introd. 35 (*b*). — **ἐκ περιωπῆς**: see note to *Char.* 2.

16 ἐν τῇ πόλει. ὑμεῖς δέ, ὦ φίλαι, ἐν τῇ Ποικίλῃ τέως περιπατήσατε· ἥξω γὰρ ὑμῖν ἐκδικάσασα τὴν δίκην.

ΛΟΥΚ. Τίνες δέ εἰσιν, ὦ Φιλοσοφία; πάνυ γάρ μοι κόσμιαι καὶ αὗται δοκοῦσιν.

ΦΙΛ. Ἀρετὴ μὲν ἡ ἀνδρώδης αὕτη, Σωφροσύνη δὲ ἐκείνη καὶ Δικαιοσύνη ἡ παρ' αὐτήν. ἡ δὲ προηγουμένη Παιδεία, ἡ ἀμυδρὰ δὲ αὕτη καὶ ἀσαφὴς τὸ χρῶμα ἡ Ἀλήθειά ἐστιν.

ΛΟΥΚ. Οὐχ ὁρῶ ἥντινα καὶ λέγεις.

ΦΙΛ. Τὴν ἀκαλλώπιστον ἐκείνην οὐχ ὁρᾷς, τὴν γυμνήν, τὴν ὑποφεύγουσαν ἀεὶ καὶ διολισθάνουσαν;

ΛΟΥΚ. Ὁρῶ νῦν μόγις. ἀλλὰ τί οὐχὶ καὶ ταύτας ἄγεις, ὡς πλῆρες γένοιτο καὶ ἐντελὲς τὸ ξυνέδριον; τὴν Ἀλήθειαν δέ γε καὶ ξυνήγορον ἀναβιβάσασθαι πρὸς τὴν δίκην βούλομαι.

ΦΙΛ. Νὴ Δία, ἀκολουθήσατε καὶ ὑμεῖς· οὐ χαλεπὸν γὰρ μίαν δικάσαι δίκην, καὶ ταῦτα περὶ τῶν ἡμετέρων ἐσομένην.

17 ΑΛΗΘ. Ἄπιτε ὑμεῖς· ἐγὼ γὰρ οὐδὲν δέομαι ἀκούειν ἃ πάλαι οἶδα ὁποῖά ἐστιν.

ΦΙΛ. Ἀλλ' ἡμῖν, ὦ Ἀλήθεια, ἐν δέοντι ξυνδικάζοις ἄν, ὡς καὶ καταμηνύοις ἕκαστα.

ΑΛΗΘ. Οὐκοῦν ἐπάγωμαι καὶ τὼ θεραπαινιδίω τούτω συνοικοτάτω μοι ὄντε;

ΦΙΛ. Καὶ μάλα ὁπόσας ἂν ἐθέλῃς.

ΑΛΗΘ. Ἕπεσθον, ὦ Ἐλευθερία καὶ Παρρησία, μεθ' ἡμῶν, ὡς τὸν δείλαιον τουτονὶ ἀνθρωπίσκον, ἐραστὴν ἡμέτερον ὄντα, κινδυνεύοντα ἐπ' οὐδεμιᾷ προφάσει δικαίᾳ, — ἄν γε σῶσαι δυνηθῶμεν· σὺ δέ, ὦ Ἔλεγχε, αὐτοῦ περίμενε.

ΛΟΥΚ. Μηδαμῶς, ὦ δέσποινα, ἡκέτω δὲ καὶ οὗτος, εἰ καί τις ἄλλος· οὐ γὰρ τοῖς τυχοῦσι θηρίοις προσπολεμῆσαι

16. **ἡ δὲ προηγουμένη Παιδεία**: *the one in front is Culture.* — **ὡς . . . γένοιτο**: see Introd. 35 (*a*).

17. **ὡς . . . δικαίᾳ, —**: *ὡς* is final; sc. *σώσωμεν* or another *σῶσαι δυνηθῶμεν*. See App. — **τὸν δείλαιον τουτονὶ**

δεήσει με. ἀλλ᾽ ἀλαζόσιν ἀνθρώποις καὶ δυσελέγκτοις, ἀεί τινας ἀποφυγὰς εὑρισκομένοις, ὥστε ἀναγκαῖος ὁ Ἔλεγχος.

ΦΙΛ. Ἀναγκαιότατος μὲν οὖν· ἄμεινον δέ, εἰ καὶ τὴν Ἀπόδειξιν παραλάβοις.

ΑΛΗΘ. Ἕπεσθε πάντες, ἐπείπερ ἀναγκαιότατοι δοκεῖτε πρὸς τὴν δίκην.

18 ΑΡΙΣΤ. Ὁρᾷς; προσεταιρίζεται καθ᾽ ἡμῶν, ὦ Φιλοσοφία,
τὴν Ἀλήθειαν.

ΦΙΛ. Εἶτα δέδιτε, ὦ Πλάτων καὶ Χρύσιππε καὶ Ἀριστότελες, μή τι ψεύσηται ὑπὲρ αὐτοῦ Ἀλήθεια οὖσα;

ΠΛΑΤ. Οὐ τοῦτο, ἀλλὰ δεινῶς πανοῦργός ἐστι καὶ κολακικός· ὥστε παραπείσει αὐτήν.

ΦΙΛ. Θαρρεῖτε· οὐδὲν μὴ γένηται ἄδικον, Δικαιοσύνης
19 ταύτης ξυμπαρούσης. ἀνίωμεν οὖν. ἀλλὰ εἰπέ μοι σύ, τί σοι
τοὔνομα;

ΛΟΥΚ. Ἐμοὶ Παρρησιάδης Ἀληθίωνος τοῦ Ἐλεγξικλέους.

ΦΙΛ. Πατρὶς δέ;

ΛΟΥΚ. Σύρος, ὦ Φιλοσοφία, τῶν Ἐπευφρατιδίων. ἀλλὰ τί τοῦτο; καὶ γὰρ τούτων τινὰς οἶδα τῶν ἀντιδίκων οὐχ ἧττον ἐμοῦ βαρβάρους τὸ γένος· ὁ τρόπος δὲ καὶ ἡ παιδεία οὐ κατὰ Σολέας ἢ Κυπρίους ἢ Βαβυλωνίους ἢ Σταγειρίτας. καίτοι πρός γε σὲ οὐδὲν ἂν ἔλαττον γένοιτο οὐδ᾽ εἰ τὴν φωνὴν βάρβαρος εἴη τις, εἴπερ ἡ γνώμη ὀρθὴ καὶ δικαία φαίνοιτο οὖσα.

ἀνθρωπίσκον: *this poor dear fellow*. Cf. *τὼ θεραπαινιδίω* for this diminutive of affection.—**ὁ Ἔλεγχος**: *Confutation*.—**τὴν Ἀπόδειξιν**: *Demonstration*.

19. Ἐμοί: note the emphatic repetition from *σοι*, cf. Ar. *Thesm.* 625.—**Παρρησιάδης** *κτλ.*: *I am Freespeaker, son of Truth the son of Confutation.*—**Σύρος**: see Introd. 3.—**οὐ κατὰ Σολέας** *κτλ.*: the Stoic Chrysippus came from Soli in Cilicia (see note on *Vit. Auct.* 20, and for the derivation of *solecism* see note on *Vit. Auct.* 23); Zeno the Stoic from Cyprus; Diogenes the Stoic (not the Cynic) from Seleucia on the Tigris, hence "Babylonian"; and Aristotle from Stageira in Macedonia. Lucian hints that the stones thrown (§ 1) by the philosophers might endanger their own glass houses.

20 ΦΙΛ. Εὖ λέγεις· ἄλλως γοῦν τοῦτο ἠρόμην. ἡ τέχνη δέ σοι τίς; ἄξιον γὰρ ἐπίστασθαι τοῦτό γε.

ΛΟΥΚ. Μισαλαζών εἰμι καὶ μισογόης καὶ μισοψευδὴς καὶ μισότυφος καὶ μισῶ πᾶν τὸ τοιουτῶδες τῶν μιαρῶν ἀνθρώπων· πάνυ δὲ πολλοί εἰσιν, ὡς οἶσθα.

ΦΙΛ. Ἡράκλεις, πολυμισῆ τινα μέτει τὴν τέχνην.

ΛΟΥΚ. Εὖ λέγεις· ὁρᾷς γοῦν ὁπόσοις ἀπεχθάνομαι καὶ ὡς κινδυνεύω δι' αὐτήν. οὐ μὴν ἀλλὰ καὶ τὴν ἐναντίαν αὐτῇ πάνυ ἀκριβῶς οἶδα, λέγω δὲ τὴν ἀπὸ τοῦ φιλῶ τὴν ἀρχὴν ἔχουσαν· φιλαλήθης τε γὰρ καὶ φιλόκαλος καὶ φιλαπλοϊκὸς καὶ ὅσα τῷ φιλεῖσθαι ξυγγενῆ· πλὴν ἀλλ' ὀλίγοι πάνυ ταύτης ἄξιοι τῆς τέχνης. οἱ δὲ ὑπὸ τῇ ἐναντίᾳ ταττόμενοι καὶ τῷ μίσει οἰκειότεροι πεντακισμύριοι. κινδυνεύω τοιγαροῦν τὴν μὲν ὑπ' ἀργίας ἀπομαθεῖν ἤδη, τὴν δὲ πάνυ ἠκριβωκέναι.

ΦΙΛ. Καὶ μὴν οὐκ ἐχρῆν· τοῦ γὰρ αὐτοῦ καὶ τάδε, φασί, καὶ τάδε· ὥστε μὴ διαίρει τὼ τέχνα· μία γὰρ ἐστὸν δύ' εἶναι δοκοῦσαι.

ΛΟΥΚ. Ἄμεινον σὺ ταῦτα οἶσθα, ὦ Φιλοσοφία. τὸ μέντοι ἐμὸν τοιοῦτόν ἐστιν, οἷον τοὺς μὲν πονηροὺς μισεῖν, ἐπαινεῖν δὲ τοὺς χρηστοὺς καὶ φιλεῖν.

21 ΦΙΛ. Ἄγε δή, πάρεσμεν γὰρ ἔνθα ἐχρῆν· ἐνταῦθά που ἐν τῷ προνάῳ τῆς Πολιάδος δικάσωμεν. ἡ Ἱέρεια διάθες ἡμῖν τὰ βάθρα, ἡμεῖς δὲ ἐν τοσούτῳ προσκυνήσωμεν τὴν θεόν.

20. ἄλλως: *heedlessly.* Cf. Ar. *Vesp.* 85 ἄλλως φλυαρεῖτε, *you're talking random nonsense.* — **φιλῶ**: cf. Ar. *Vesp.* 77 ff. ἀλλὰ φιλο μέν ἐστιν ἀρχὴ τοῦ κακοῦ. See App. — **πάνυ ἠκριβωκέναι**: *to be a perfect connoisseur in.*

21. τῷ προνάῳ τῆς Πολιάδος: the pronaos of the east front of the Parthenon seems to be referred to. There Parrhesiades makes his prayer to the goddess, i.e. the great chryselephantine statue of Athena within the Parthenon (see, however, note on ἐπίσκοπος below), while the priestess is arranging the benches; and later, § 39, offers his thanksgiving to the winged Nike on Athena's outstretched hand. See Harrison & Verrall, *Mythol. and Monuments of Anc. Athens*, p. 464, for a discussion of this passage and certain inferences drawn from it. — **ἡ Ἱέρεια**: here "the nominative with the article

ΛΟΥΚ. Ὦ Πολιάς, ἐλθέ μοι κατὰ τῶν ἀλαζόνων σύμμαχος ἀναμνησθεῖσα ὁπόσα ἐπιορκούντων ὁσημέραι ἀκούεις αὐτῶν· καὶ ἃ πράττουσι δὲ μόνη ὁρᾷς ἅτε δὴ ἐπίσκοπος οὖσα. νῦν καιρὸς ἀμύνασθαι αὐτούς. ἐμὲ δὲ ἤν που κρατούμενον ἴδῃς καὶ πλείους ὦσιν αἱ μέλαιναι, σὺ προσθεῖσα τὴν σαυτῆς σῷζέ με.

22 ΦΙΛ. Εἶεν· ἡμεῖς μὲν ὑμῖν καὶ δὴ καθήμεθα ἕτοιμοι ἀκούειν τῶν λόγων, ὑμεῖς δὲ προελόμενοί τινα ἐξ ἁπάντων, ὅστις ἄριστα κατηγορήσειν δοκεῖ, ξυνείρετε τὴν κατηγορίαν καὶ διελέγχετε· πάντας γὰρ ἅμα λέγειν ἀμήχανον. σὺ δέ, ὦ Παρρησιάδη, ἀπολογήσῃ τὸ μετὰ τοῦτο.

ΧΡΥΣ. Τίς οὖν ἂν ἐπιτηδειότατος ἐξ ἡμῶν γένοιτο πρὸς τὴν δίκην; σύ, ὦ Πλάτων. ἥ τε γὰρ μεγαλόνοια θαυμαστὴ καὶ ἡ καλλιφωνία δεινῶς Ἀττικὴ καὶ τὸ κεχαρισμένον καὶ πειθοῦς μεστὸν ἥ τε ξύνεσις καὶ τὸ ἀκριβὲς καὶ τὸ ἐπαγωγὸν ἐν καιρῷ τῶν ἀποδείξεων, πάντα ταῦτά σοι ἀθρόα πρόσεστιν· ὥστε τὴν προηγορίαν δέχου καὶ ὑπὲρ ἁπάντων εἰπὲ τὰ εἰκότα. νῦν ἀναμνήσθητι πάντων ἐκείνων καὶ ξυμφόρει ἐς τὸ αὐτό, εἴ τί σοι πρὸς Γοργίαν ἢ Πῶλον ἢ Ἱππίαν ἢ Πρόδικον εἴρηται·

is . . . in apposition with an . . . unexpressed vocative which is identical with the subject of the verb." Gildersleeve, *S.C.G.* 13. Cf. Ar. *Ran.* 521 ὁ παῖς, ἀκολούθει δεῦρο. — **ἐπίσκοπος**: this might seem inconsistent with the assumption just made, and might seem to refer to the great bronze statue, the so-called Athena Promachos, standing in the open air northwest of the Parthenon, and not visible from the pronaos on the east; but Solon had made this almost an official epithet of their patron saint in his Ὑποθῆκαι εἰς Ἀθηναίους 3:

τοίη γὰρ μεγάθυμος ἐπίσκοπος ὀβριμοπάτρη
Παλλὰς Ἀθηναίη χεῖρας ὕπερθεν ἔχει.

— **αἱ μέλαιναι** (sc. ψῆφοι): instead of the usual αἱ τετρυπημέναι. — **προσθεῖσα τὴν σαυτῆς**: a tie vote only was necessary for acquittal. The deciding ballot cast by Athena at the trial of Orestes (Aesch. *Eum.* 734 ff.) became proverbial. In *Harmon.* 3 Lucian calls it simply τὴν τῆς Ἀθηνᾶς. As no "repeating" was allowed, Athena's sphere of usefulness was limited.

22. διελέγχετε: *make good your proof.* — **Πλάτων**: this passage is not without value as a summary of the characteristics of the Platonic dialogues. Note that Protagoras is not mentioned with the other sophists. —

δεινότερος οὗτός ἐστιν. ἐπίπαττε οὖν καὶ τῆς εἰρωνείας καὶ τὰ κομψὰ ἐκεῖνα καὶ συνεχῆ ἐρώτα, κἂν σοι δοκῇ, κἀκεῖνό που παράβυσον, ὡς ὁ μέγας ἐν οὐρανῷ Ζεὺς πτηνὸν ἅρμα ἐλαύνων ἀγανακτήσειεν ἄν, εἰ μὴ οὗτος ὑπόσχοι τὴν δίκην.

23 ΠΛΑΤ. Μηδαμῶς, ἀλλά τινα τῶν σφοδροτέρων προχειρισώμεθα, Διογένην τοῦτον ἢ Ἀντισθένην ἢ Κράτητα ἢ καὶ σέ, ὦ Χρύσιππε· οὐ γὰρ δὴ κάλλους ἐν τῷ παρόντι καὶ δεινότητος συγγραφικῆς ὁ καιρός, ἀλλά τινος ἐλεγκτικῆς καὶ δικανικῆς παρασκευῆς· ῥήτωρ δὲ ὁ Παρρησιάδης ἐστίν.

ΔΙΟΓ. Ἀλλ' ἐγὼ αὐτοῦ κατηγορήσω· καὶ γὰρ οὐδὲ πάνυ μακρῶν οἴομαι τῶν λόγων δεῖσθαι. καὶ ἄλλως δὲ ὑπὲρ ἅπαντας ὕβρισμαι δυ' ὀβολῶν πρῴην ἀποκεκηρυγμένος.

ΠΛΑΤ. Ὁ Διογένης, ὦ Φιλοσοφία, ἐρεῖ τὸν λόγον ὑπὲρ ἁπάντων. μέμνησο δέ, ὦ γενναῖε, μὴ τὰ σεαυτοῦ μόνον πρεσβεύειν ἐν τῇ κατηγορίᾳ, τὰ κοινὰ δὲ ὁρᾶν· εἰ γάρ τι καὶ πρὸς ἀλλήλους διαφερόμεθα ἐν τοῖς λόγοις, σὺ δὲ τοῦτο μὲν μὴ ἐξέταζε, μηδ' ὅστις ἐστὶν ὁ ἀληθέστερος νῦν λέγε, ὅλως δὲ ὑπὲρ φιλοσοφίας αὐτῆς ἀγανάκτει περιυβρισμένης καὶ κακῶς ἀκουούσης ἐν τοῖς Παρρησιάδου λόγοις, καὶ τὰς προαιρέσεις ἀφεὶς ἐν αἷς διαλλάττομεν, ὃ κοινὸν ἅπαντες ἔχομεν, τοῦτο ὑπερμάχει. ὁρᾷς; σὲ μόνον προεστησάμεθα καὶ ἐν σοὶ τὰ πάντων ἡμῶν νῦν κινδυνεύεται, ἢ σεμνότατα δόξαι ἢ τοιαῦτα πιστευθῆναι οἷα οὗτος ἀπέφηνε.

κἂν . . . παράβυσον: *and, if you think best, also stuff in somewhere that famous passage.* — **ὡς ὁ μέγας** κτλ.: this passage of Plato's occurs *Phaedr.* 246 E. Lucian refers to it *Rhet. Praec.* 26, and in *Bis Acc.* 33 Dialogus shows just how to "work it in."

23. σὺ δὲ τοῦτο: this use of δέ is especially Homeric, but was occasionally used also by Herodotus and Attic writers, e.g. Xen. *Cyr.* 5, 5, 21 ἀλλ' εἰ μηδὲ τοῦτο, ἔφη, βούλει ἀποκρίνασθαι, σὺ δὲ τοὐντεῦθεν λέγε. Cf. Kühner-Blass II, § 516, 5. — **προαιρέσεις**: see note on *Vit. Auct.* 1. — **τοῦτο ὑπερμάχει**: the Mss. and scholiast agree in giving τοῦτο. The gen. is the usual construction.

24 ΔΙΟΓ. Θαρρεῖτε. οὐδὲν ἐλλείψομεν, ὑπὲρ ἁπάντων ἐρῶ. κἂν ἡ Φιλοσοφία δὲ πρὸς τοὺς λόγους ἐπικλασθεῖσα—φύσει γὰρ ἥμερος καὶ πρᾶός ἐστιν—ἀφεῖναι διαβουλεύηται αὐτόν, ἀλλ' οὐ τἀμὰ ἐνδεήσει· δείξω γὰρ αὐτῷ ὅτι μὴ μάτην ξυλοφοροῦμεν.

ΦΙΛ. Τοῦτο μὲν μηδαμῶς, ἀλλὰ τῷ λόγῳ μᾶλλον—ἄμεινον γὰρ—ἤπερ τῷ ξύλῳ. μὴ μέλλε δ' οὖν. ἤδη γὰρ ἐκκέχυται τὸ ὕδωρ καὶ πρὸς σὲ τὸ δικαστήριον ἀποβλέπει.

ΛΟΥΚ. Οἱ λοιποὶ καθιζέσθωσαν, ὦ Φιλοσοφία, καὶ ψηφοφορείτωσαν μεθ' ὑμῶν, Διογένης δὲ κατηγορείτω μόνος.

ΦΙΛ. Οὐ δέδιας οὖν μή σου καταψηφίσωνται;

ΛΟΥΚ. Οὐδαμῶς· πλείοσι γοῦν κρατῆσαι βούλομαι.

ΦΙΛ. Γενναῖά σου ταῦτα· καθίσατε δ' οὖν. σὺ δ', ὦ Διόγενες, λέγε.

25 ΔΙΟΓ. Οἷοι μὲν ἡμεῖς ἄνδρες ἐγενόμεθα παρὰ τὸν βίον, ὦ Φιλοσοφία, πάνυ ἀκριβῶς οἶσθα καὶ οὐδὲν δεῖ λόγων· ἵνα γὰρ τὸ κατ' ἐμὲ σιωπήσω, ἀλλὰ Πυθαγόραν τοῦτον καὶ Πλάτωνα καὶ Ἀριστοτέλην καὶ Χρύσιππον καὶ τοὺς ἄλλους τίς οὐκ οἶδεν ὅσα ἐς τὸν βίον καλὰ ἐσεκομίσαντο; ἃ δὲ τοιούτους ὄντας ἡμᾶς ὁ τρισκατάρατος οὗτος Παρρησιάδης ὕβρικεν, ἤδη ἐρῶ· ῥήτωρ γάρ τις, ὥς φησιν, ὤν, ἀπολιπὼν τὰ δικαστήρια καὶ τὰς ἐν ἐκείνοις εὐδοκιμήσεις, ὁπόσον ἢ

24. **ὅτι μή**: Introd. 39 (*b*). — **μάτην ξυλοφοροῦμεν**: the compound verb is a mocking reminder of δορυφορῶ. Compounds ending in φορῶ, however, became frequent. Cf. ψηφοφορείτωσαν, five lines below, ἀσπιδοφορῶ, etc. That the English translation recalls Romans 13, 4, is purely accidental: the Greek there (οὐ γὰρ εἰκῇ τὴν μάχαιραν φορεῖ) neither uses μαχαιροφορῶ (with Josephus) nor anticipates ξιφοφορῶ (with Herodian). — **Γενναῖά σου ταῦτα**: *that's handsome of you.* Cf. *D. Mort.* 10, 13 γεννάδας εἶ, ὦ Μένιππε, *you're game, Menippus!*

25. **ΔΙΟΓ.**: Diogenes's speech is short, one third as long as the defendant's. After the usual complaints, couched in conventional law-court phrases, he concludes with the abruptness of a speaker sure of his case. He is still more abrupt in *Bis Acc.* 24. — **ἀπολιπὼν τὰ δικαστήρια**: with the autobiographic details in this passage

δεινότητος ἢ ἀκμῆς ἐπεπόριστο ἐν τοῖς λόγοις, τοῦτο πᾶν ἐφ᾽ ἡμᾶς συσκευασάμενος οὐ παύεται μὲν ἀγορεύων κακῶς γόητας καὶ ἀπατεῶνας ἀποκαλῶν, τὰ πλήθη δὲ ἀναπείθων καταγελᾶν ἡμῶν καὶ καταφρονεῖν ὡς τὸ μηδὲν ὄντων· μᾶλλον δὲ καὶ μισεῖσθαι πρὸς τῶν πολλῶν ἤδη πεποίηκεν αὐτούς τε ἡμᾶς καὶ σὲ τὴν Φιλοσοφίαν, φληνάφους καὶ λήρους ἀποκαλῶν τὰ σὰ καὶ τὰ σπουδαιότατα ὧν ἡμᾶς ἐπαίδευσας ἐπὶ χλευασμῷ διεξιών, ὥστε αὐτὸν μὲν κροτεῖσθαι καὶ ἐπαινεῖσθαι πρὸς τῶν θεατῶν, ἡμᾶς δὲ ὑβρίζεσθαι· φύσει γὰρ τοιοῦτόν ἐστιν ὁ πολὺς λεώς· χαίρουσι τοῖς ἀποσκώπτουσι καὶ λοιδορουμένοις, καὶ μάλισθ᾽ ὅταν τὰ σεμνότατα εἶναι δοκοῦντα διασύρηται, ὥσπερ ἀμέλει καὶ πάλαι ἔχαιρον Ἀριστοφάνει καὶ Εὐπόλιδι Σωκράτην τουτονὶ ἐπὶ χλευασίᾳ παράγουσιν ἐπὶ τὴν σκηνὴν καὶ κωμῳδοῦσιν ἀλλοκότους τινὰς περὶ αὐτοῦ κωμῳδίας. καίτοι ἐκεῖνοι μὲν καθ᾽ ἑνὸς ἀνδρὸς ἐτόλμων τοιαῦτα καὶ ἐν Διονύσου, ἐφειμένον αὐτὸ δρᾶν, καὶ τὸ σκῶμμα μέρος ἐδόκει τῆς ἑορτῆς, καὶ ὁ θεὸς ἴσως χαίρει φιλόγελώς τις ὤν.

26 ὁ δὲ τοὺς ἀρίστους συγκαλῶν, ἐκ πολλοῦ φροντίσας καὶ παρασκευασάμενος καὶ βλασφημίας τινὰς ἐς παχὺ βιβλίον ἐγγράψας μεγάλῃ τῇ φωνῇ ἀγορεύει κακῶς Πλάτωνα, Πυθαγόραν, Ἀριστοτέλην, Χρύσιππον ἐκεῖνον, ἐμὲ καὶ ὅλως ἅπαντας οὔτε ἑορτῆς ἐφιείσης οὔτε ἰδίᾳ τι πρὸς ἡμῶν παθών· εἶχε γὰρ ἄν τι συγγνώμην αὐτῷ τὸ πρᾶγμα, εἰ ἀμυνόμενος ἀλλὰ μὴ ἄρχων αὐτὸς ἔδρασε. καὶ τὸ πάντων δεινότατον, ὅτι ταῦτα ποιῶν καὶ ὑπὸ τὸ σὸν ὄνομα, ὦ Φιλοσοφία, ὑποδύεται καὶ ὑπελθὼν τὸν Διάλογον ἡμέτερον οἰκεῖον ὄντα, τούτῳ

cf. Introd., p. x f. — **δεινότητος**: *cleverness.* An especial characteristic of Demosthenes. Dionysius of Halicarnassus wrote a treatise Περὶ τῆς δεινότητος Δημοσθένους. — **ἀκμῆς**: *vigor.* — **ἐπεπόριστο**: *had stored up.* For tense see Introd. 34 (*a*). — **τὸ μηδέν**: *naught.* Cf. Soph. *O. T.* 1187 ὡς ὑμᾶς ἴσα καὶ τὸ μηδὲν ζώσας ἐναριθμῶ. — **ἐν Διονύσου**: sc. θεάτρῳ. — **ἐφειμένον**: acc. abs. G. 1569; H. 973; Gl. 591; B. 658.

26. **ἐφιείσης**: *licensing.* ἐπιούσης (the

ξυναγωνιστῇ καὶ ὑποκριτῇ χρῆται καθ' ἡμῶν, ἔτι καὶ Μένιππον ἀναπείσας ἑταῖρον ἡμῶν ἄνδρα ξυγκωμῳδεῖν αὐτῷ τὰ πολλά, ὃς μόνος οὐ πάρεστιν οὐδὲ κατηγορεῖ μεθ' ἡμῶν,
27 προδοὺς τὸ κοινόν. ἀνθ' ὧν ἁπάντων ἄξιόν ἐστιν ὑποσχεῖν αὐτὸν τὴν δίκην. ἢ τί γὰρ ἂν εἰπεῖν ἔχοι τὰ σεμνότατα διασύρας ἐπὶ τοσούτων μαρτύρων; χρήσιμον γοῦν καὶ πρὸς ἐκείνους τὸ τοιοῦτον, εἰ θεάσαιντο αὐτὸν κολασθέντα, ὡς μηδὲ ἄλλος τις ἔτι καταφρονοίη φιλοσοφίας· ἐπεὶ τό γε τὴν ἡσυχίαν ἄγειν καὶ ὑβριζόμενον ἀνέχεσθαι οὐ μετριότητος, ἀλλ' ἀνανδρίας καὶ εὐηθείας εἰκότως ἂν νομίζοιτο. τὰ γὰρ τελευταῖα τίνι φορητά; ὃς καθάπερ τὰ ἀνδράποδα παραγαγὼν ἡμᾶς ἐπὶ τὸ πωλητήριον καὶ κήρυκα ἐπιστήσας ἀπημπόλησεν. ὥς φασι, τοὺς μὲν ἐπὶ πολλῷ, ἐνίους δὲ μνᾶς Ἀττικῆς, ἐμὲ δὲ ὁ παμπονηρότατος οὗτος δύ' ὀβολῶν· οἱ παρόντες δὲ ἐγέλων. ἀνθ' ὧν γε αὐτοί τε ἀνεληλύθαμεν ἀγανακτήσαντες καὶ σὲ ἀξιοῦμεν τιμωρήσειν ἡμῖν τὰ ἔσχατα ὑβρισμένοις.

28 ΑΝΑΒ. Εὖ γε, ὦ Διόγενες, ὑπὲρ ἁπάντων καλῶς καὶ ὁπόσα ἐχρῆν ἅπαντα εἴρηκας.

ΦΙΛ. Παύσασθε ἐπαινοῦντες· ἔγχει τῷ ἀπολογουμένῳ. σὺ δέ, ὦ Παρρησιάδη, λέγε ἤδη ἐν τῷ μέρει· σοὶ γὰρ τὸ νῦν ῥεῖ. μὴ μέλλε οὖν.

29 ΠΑΡΡ. Οὐ πάντα μου, ὦ Φιλοσοφία, κατηγόρησε Διογένης, ἀλλὰ τὰ πλείω καὶ ὅσα ἦν χαλεπώτερα οὐκ οἶδ' ὅ τι παθὼν παρέλιπεν. ἐγὼ δὲ τοσούτου δέω ἔξαρνος γενέσθαι ὡς οὐκ εἶπον αὐτά, ἢ ἀπολογίαν τινὰ μεμελετηκὼς ἀφῖχθαι, ὥστε καὶ εἴ τινα ἢ οὗτος ἀπεσιώπησεν ἢ ἐγὼ μὴ πρότερον ἔφθασα εἰρηκώς, νῦν προσθήσειν μοι δοκῶ· οὕτω γὰρ ἂν

common reading) would mean *coming on*. See App. — **Διάλογον**: see Introd., p. xi. — **Μένιππον**: see *D. Mort.* p. 189.

27. ὡς . . . καταφρονοίη: optative by assimilation although in primary sequence, i.e. χρήσιμον . . . sc. ἂν εἴη. See GMT. 180, II (*b*) and 176, B.

28. Παύσασθε ἐπαινοῦντες: *silence in the Court!* — **ἔγχει**: see Dict. Antiq. s.v. "Horologium."

μάθοις οὕστινας ἀπεκήρυττον καὶ κακῶς ἠγόρευον ἀλαζόνας καὶ γόητας ἀποκαλῶν· καί μοι μόνον τοῦτο παραφυλάττετε, εἰ ἀληθῆ περὶ αὐτῶν ἐρῶ. εἰ δέ τι βλάσφημον ἢ τραχὺ φαίνοιτο ἔχων ὁ λόγος, οὐ τὸν διελέγχοντα ἐμέ, ἀλλ' ἐκείνους ἄν, οἶμαι, δικαιότερον αἰτιάσαισθε τοιαῦτα ποιοῦντας. ἐγὼ γὰρ ἐπειδὴ τάχιστα ξυνεῖδον ὁπόσα τοῖς ῥητορεύουσι τὰ δυσχερῆ ἀναγκαῖον προσεῖναι, ἀπάτην καὶ ψεῦδος καὶ θρασύτητα καὶ βοὴν καὶ ὠθισμοὺς καὶ μυρία ἄλλα, ταῦτα μέν, ὥσπερ εἰκὸς ἦν, ἀπέφυγον, ἐπὶ δὲ τὰ σά, ὦ Φιλοσοφία, καλὰ ὁρμήσας ἠξίουν ὁπόσον ἔτι μοι λοιπὸν τοῦ βίου καθάπερ ἐκ ζάλης καὶ κλύδωνος ἐς εὔδιόν τινα λιμένα σπεύσας ὑπὸ σοὶ σκεπόμενος
30 καταβιῶναι. κἀπειδὴ μόνον παρέκυψα ἐς τὰ ὑμέτερα, σὲ μέν, ὥσπερ ἀναγκαῖον ἦν, καὶ τούσδε ἅπαντας ἐθαύμαζον ἀρίστου βίου νομοθέτας ὄντας καὶ τοῖς ἐπ' αὐτὸν ἐπειγομένοις χεῖρα ὀρέγοντας, τὰ κάλλιστα καὶ ξυμφορώτατα παραινοῦντας, εἴ τις μὴ παραβαίνοι αὐτὰ μηδὲ διολισθάνοι, ἀλλ' ἀτενὲς ἀποβλέπων ἐς τοὺς κανόνας οὓς προτεθείκατε, πρὸς τούτους ῥυθμίζοι καὶ ἀπευθύνοι τὸν ἑαυτοῦ βίον, ὅπερ νὴ Δία καὶ τῶν
31 καθ' ἡμᾶς αὐτοὺς ὀλίγοι ποιοῦσιν. ὁρῶν δὲ πολλοὺς οὐκ ἔρωτι φιλοσοφίας ἐχομένους, ἀλλὰ δόξης μόνον τῆς ἀπὸ τοῦ πράγματος ἐφιεμένους, καὶ τὰ μὲν πρόχειρα ταῦτα καὶ δημόσια καὶ ὁπόσα παντὶ μιμεῖσθαι ῥᾴδιον εὖ μάλα ἐοικότας

29. **ἀπεκήρυττον**: *I offered at auction.* No sale was *effected* in the case of three philosophers. Cf. *Vit. Auct.* 12 and 14. — **καθάπερ ἐκ ζάλης . . . σκεπόμενος καταβιῶναι**: a Platonic reminiscence. In *Rep.* 496 D the covert from the storm of wind, dust, and rain is a wall, *οἷον ἐν χειμῶνι κονιορτοῦ καὶ ζάλης ὑπὸ πνεύματος φερομένου ὑπὸ τειχίον ἀποστάς, . . . καθαρὸς ἀδικίας τε καὶ ἀνοσίων ἔργων τόν τε ἐνθάδε βίον βιώσεται.* — **σκεπόμενος**: frequent in late prose, e.g. *D. Mort.* 10, 8; *Tim.* 21. — **καταβιῶναι**: note force of *κατά* (like *ἀπό* in *ἀπομάχομαι*, *I fight it out.* Lys. *adv. Sim.* 25). See Plato *Rep.* 578 C (*ὃς ἂν τυραννικὸς ὢν*) *μὴ ἰδιώτην βίον καταβιῷ . . . is prevented from completing his private life;* also Plato *Protag.* 355 A and Luc. *V.H.* A 12 *εὐδαιμονέστατα παρ' ἐμοὶ καταβιώσεσθε.*

30. **τῶν καθ' ἡμᾶς**: *men of our day* (like *τὰ ἐπ' ἐμεῦ*, Hdt. 1, 5), but in *Rhet. Praec.* 11 *men of our pattern.*

ἀγαθοῖς ἀνδράσι, τὸ γένειον λέγω καὶ τὸ βάδισμα καὶ τὴν
ἀναβολήν, ἐπὶ δὲ τοῦ βίου καὶ τῶν πραγμάτων ἀντιφθεγγο-
μένους τῷ σχήματι καὶ τἀναντία ὑμῖν ἐπιτηδεύοντας καὶ δια-
φθείροντας τὸ ἀξίωμα τῆς ὑποσχέσεως, ἠγανάκτουν, καὶ τὸ
πρᾶγμα ὅμοιον ἐδόκει μοι καθάπερ ἂν εἴ τις ὑποκριτὴς τρα-
γῳδίας μαλθακὸς αὐτὸς ὢν καὶ γυναικεῖος Ἀχιλλέα ἢ Θησέα
ἢ καὶ τὸν Ἡρακλέα ὑποκρίνοιτο αὐτὸν μήτε βαδίζων μήτε
βοῶν ἡρωικόν, ἀλλὰ θρυπτόμενος ὑπὸ τηλικούτῳ προσωπείῳ,
ὃν οὐδ᾽ ἂν ἡ Ἑλένη ποτὲ ἢ Πολυξένη ἀνάσχοιντο πέρα τοῦ
μετρίου αὐταῖς προσεοικότα, οὐχ ὅπως ὁ Ἡρακλῆς ὁ Καλλίνι-
κος. ἀλλά, μοὶ δοκεῖ, τάχιστ᾽ ἂν ἐπιτρίψαι τῷ ῥοπάλῳ παίων
τὸν τοιοῦτον, αὐτόν τε καὶ τὸ προσωπεῖον, οὕτως ἀτίμως κα-
32 τατεθηλυμμένος πρὸς αὐτοῦ. τοιαῦτα καὶ ὑμᾶς πάσχοντας
ὑπ᾽ ἐκείνων ὁρῶν οὐκ ἤνεγκα τὴν αἰσχύνην τῆς ὑποκρίσεως, εἰ
πίθηκοι ὄντες ἐτόλμησαν ἡρώων προσωπεῖα περιθέσθαι ἢ τὸν
ἐν Κύμῃ ὄνον μιμήσασθαι, ὃς λεοντῆν περιβαλόμενος ἠξίου
λέων αὐτὸς εἶναι πρὸς ἀγνοοῦντας τοὺς Κυμαίους ὀγκώμενος
μάλα τραχὺ καὶ καταπληκτικόν, ἄχρι δή τις αὐτὸν ξένος καὶ
λέοντα ἰδὼν καὶ ὄνον πολλάκις ἤλεγξε παίων τοῖς ξύλοις. ὃ
δὲ μάλιστά μοι δεινόν, ὦ Φιλοσοφία, κατεφαίνετο, τοῦτο ἦν·
οἱ γὰρ ἄνθρωποι εἴ τινα τούτων ἑώρων πονηρὸν ἢ ἄσχημον
ἢ ἀσελγές τι ἐπιτηδεύοντα, οὐκ ἔστιν ὅστις οὐ φιλοσοφίαν
αὐτὴν ᾐτιᾶτο καὶ τὸν Χρύσιππον εὐθὺς ἢ Πλάτωνα ἢ Πυθα-
γόραν ἢ ὅτου αὐτὸν ἐπώνυμον ὁ διαμαρτάνων ἐκεῖνος ἐποιεῖτο
καὶ οὗ τοὺς λόγους προσεποιεῖτο, καὶ ἀπὸ τοῦ κακῶς βιοῦν-
τος πονηρὰ περὶ ὑμῶν εἴκαζον τῶν πρὸ πολλοῦ τεθνηκότων·

31. ἀντιφθεγγομένους: *contradicting*, as in *de Salt.* 23 πῶς ἀντιφθέγγεσθαι ἐκείνοις τολμᾷς; The first meaning is *echoing*. — **οὐχ ὅπως**: cf. *Char.* 8, note. — **ἐπιτρίψαι**: cf. Kühner-Blass [3], § 214, 3.

32. τὸν ἐν Κύμῃ ὄνον: cf. *Fugit.* 13 οἷόν τι . . . ὁ Αἴσωπός φησι ποιῆσαι τὸν ἐν τῇ Κύμῃ ὄνον. Cf. Aesop *Fab.* (Halm.) Nos. 333 and 336. — **ὀγκώμενος**: cf. *Fugit.* 14 ὀγκᾶσθαι, and note the context for the oft-repeated description of the externals of the philosopher.

οὐ γὰρ παρὰ ζῶντας ὑμᾶς ἡ ἐξέτασις αὐτοῦ ἐγίγνετο, ἀλλ'
ὑμεῖς μὲν ἐκποδῶν, ἐκεῖνον δὲ ἑώρων σαφῶς ἅπαντες δεινὰ
καὶ ἄσεμνα ἐπιτηδεύοντα, ὥστε ἐρήμην ἡλίσκεσθε μετ' αὐ-
33 τοῦ καὶ ἐπὶ τὴν ὁμοίαν διαβολὴν συγκατεσπᾶσθε. ταῦτα
οὐκ ἤνεγκα ὁρῶν ἔγωγε, ἀλλὰ ἤλεγχον αὐτοὺς καὶ διέκρινον
ἀφ' ὑμῶν· ὑμεῖς δέ, τιμᾶν ἐπὶ τούτοις δέον, ἐς δικαστήριον
ἄγετε. οὐκοῦν ἤν τινα καὶ τῶν μεμυημένων ἰδὼν ἐξαγο-
ρεύοντα τοῖν θεοῖν τὰ ἀπόρρητα καὶ ἐξορχούμενον ἀγανα-
κτήσω καὶ διελέγξω, ἐμὲ τὸν ἀδικοῦντα ἡγήσεσθε εἶναι;
ἀλλ' οὐ δίκαιον. ἐπεὶ καὶ οἱ ἀθλοθέται μαστιγοῦν εἰώθασιν,
ἤν τις ὑποκριτὴς Ἀθηνᾶν ἢ Ποσειδῶνα ἢ τὸν Δία ὑποδεδυ-
κὼς μὴ καλῶς ὑποκρίνοιτο μηδὲ κατ' ἀξίαν τῶν θεῶν, καὶ οὐ
δή που ὀργίζονται αὐτοῖς ἐκεῖνοι, ὅτι τὸν περικείμενον αὐτῶν
τὰ προσωπεῖα καὶ τὸ σχῆμα ἐνδεδυκότα ἐπέτρεψαν παίειν
τοῖς μαστιγοφόροις, ἀλλὰ καὶ ἥδοιντ' ἄν, οἶμαι, μαστιγου-
μένων· οἰκέτην μὲν γὰρ ἢ ἄγγελόν τινα μὴ δεξιῶς ὑποκρί-
νασθαι μικρὸν τὸ πταῖσμα, τὸν Δία δὲ ἢ τὸν Ἡρακλέα μὴ
κατ' ἀξίαν ἐπιδείξασθαι τοῖς θεαταῖς ἀποτρόπαιον ὡς αἰ-
34 σχρόν. καὶ γὰρ αὖ καὶ τόδε πάντων ἀτοπώτατόν ἐστιν, ὅτι
τοὺς μὲν λόγους ὑμῶν πάνυ ἀκριβοῦσιν οἱ πολλοὶ αὐτῶν,
καθάπερ δὲ ἐπὶ τούτῳ μόνον ἀναγινώσκοντες αὐτοὺς καὶ με-
λετῶντες, ὡς τἀναντία ἐπιτηδεύοιεν, οὕτως βιοῦσιν· πάντα
μὲν γὰρ ὅσα φασίν, οἷον χρημάτων καταφρονεῖν καὶ δόξης
καὶ μόνον τὸ καλὸν οἴεσθαι ἀγαθὸν καὶ ἀόργητον εἶναι
καὶ τῶν λαμπρῶν τούτων ὑπερορᾶν καὶ ἐξ ἰσοτιμίας αὐτοῖς
διαλέγεσθαι, καλά, ὦ θεοί, καὶ σοφὰ καὶ θαυμάσια λίαν
ὡς ἀληθῶς. οἱ δὲ καὶ αὐτὰ ταῦτα ἐπὶ μισθῷ διδάσκουσι
καὶ τοὺς πλουσίους τεθήπασι καὶ πρὸς τὸ ἀργύριον κεχή-
νασιν, ὀργιλώτεροι μὲν τῶν κυνιδίων ὄντες, δειλότεροι δὲ

33. **ἤν τις . . . ὑποκρίνοιτο**: see Introd. 36 (*a*).—**ἀποτρόπαιον ὡς αἰσχρόν**: *Heaven help us, how disgraceful that is!* Cf. ὑπερφυὲς ὡς and mirum quam.

τῶν λαγωῶν, κολακευτικώτεροι δὲ τῶν πιθήκων, ἀσελγέστεροι δὲ τῶν ὄνων, ἁρπακτικώτεροι δὲ τῶν γαλῶν, φιλονεικότεροι δὲ τῶν ἀλεκτρυόνων. τοιγαροῦν γέλωτα ὀφλισκάνουσιν ὠθιζόμενοι ἐπὶ ταῦτα καὶ περὶ τὰς τῶν πλουσίων θύρας ἀλλήλους παρωθούμενοι, δεῖπνα πολυάνθρωπα δειπνοῦντες καὶ ἐν αὐτοῖς τούτοις ἐπαινοῦντες φορτικῶς καὶ πέρα τοῦ καλῶς ἔχοντος ἐμφορούμενοι καὶ μεμψίμοιροι φαινόμενοι καὶ ἐπὶ τῆς κύλικος ἀτερπῆ καὶ ἀπῳδὰ φιλοσοφοῦντες καὶ τὸν ἄκρατον οὐ φέροντες· οἱ ἰδιῶται δὲ ὁπόσοι ξυμπίνουσι, δηλαδὴ καταπτύουσι
35 φιλοσοφίας, εἰ τοιαῦτα καθάρματα ἐκτρέφει. τὸ δὲ πάντων αἴσχιστον, ὅτι μηδενὸς δεῖσθαι λέγων ἕκαστος αὐτῶν ἀλλὰ μόνον πλούσιον εἶναι τὸν σοφὸν κεκραγὼς μικρὸν ὕστερον αἰτεῖ προσελθὼν καὶ ἀγανακτεῖ μὴ λαβών, ὅμοιον ὡς εἴ τις ἐν βασιλικῷ σχήματι ὀρθὴν τιάραν ἔχων καὶ διάδημα καὶ τὰ ἄλλα ὅσα βασιλείας γνωρίσματα προσαιτοίη τῶν ὑποδεεστέρων δεόμενος. ὅταν μὲν οὖν αὐτούς τι δέῃ λαμβάνειν, πολὺς ὁ περὶ τοῦ κοινωνικὸν εἶναι δεῖν λόγος καὶ ὡς ἀδιάφορον ὁ πλοῦτος καί, τί γὰρ τὸ χρυσίον ἢ ἀργύριον οὐδὲν τῶν ἐν τοῖς αἰγιαλοῖς ψηφίδων διαφέρον; ὅταν δέ τις ἐπικουρίας δεόμενος ἑταῖρος ἐκ παλαιοῦ καὶ φίλος ἀπ᾽ οὐκ ὀλίγων ὀλίγα αἰτῇ προσελθών, σιωπὴ καὶ μονὴ καὶ ἀπορία καὶ ἀμαθία καὶ παλινῳδία τῶν λόγων πρὸς τὸ ἐναντίον· οἱ δὲ πολλοὶ περὶ φιλίας ἐκεῖνοι λόγοι καὶ ἡ ἀρετὴ καὶ τὸ καλὸν οὐκ οἶδ᾽ ὅποι

34. **λαγωῶν**: see App. — **ἐμφορούμενοι**: in *Symp.* 11 Lucian describes an old Stoic as he appeared when confronted, not by theories and syllogisms, but by blood-puddings and other dainties: *ὁρᾷς . . . ὅπως ἐμφορεῖται τῶν ὄψων καὶ ἀναπέπλησται ζωμοῦ τὸ ἱμάτιον καὶ ὅσα τῷ παιδὶ κατόπιν ἑστῶτι ὀρέγει λανθάνειν οἰόμενος τοὺς ἄλλους;* — **τὸν ἄκρατον οὐ φέροντες**: *they lose their heads*, cf. § 32 *οὐκ ἤνεγκα τὴν αἰσχύνην.* Also *Symp.* 14 ff. where the goblet of *ζωρότερον* proves too much for the Cynic's equanimity. But see App. — For general thought in § 34 cf. S. Matt. 23, 2–7.

35. **μηδενός**: see Introd. 39 (*a*). — **ἀδιάφορον**: technical term of Stoics. See *Vit. Auct.* 21, and the notes on *Vit. Auct.* 20, for this whole passage. — **τῶν ἐν τοῖς αἰγιαλοῖς ψηφίδων**: with this passage compare *Tim.* 56. — **μονή**: see App.

ποτὲ οἴχεται πάντα ταῦτα ἀποπτάμενα, πτερόεντα ὡς ἀληθῶς
ἔπη, μάτην ὁσημέραι πρὸς αὐτῶν ἐν ταῖς διατριβαῖς σκιαμα-
36 χούμενα. μέχρι γὰρ τούτου φίλος ἕκαστος αὐτῶν, ἐς ὅσον
ἂν μὴ ἀργύριον ἢ χρυσίον ᾖ προκείμενον ἐν τῷ μέσῳ· ἢν δέ
τις ὀβολὸν ἐπιδείξῃ μόνον, λέλυται μὲν ἡ εἰρήνη, ἄσπονδα
δὲ καὶ ἀκήρυκτα πάντα, καὶ τὰ βιβλία ἐξαλήλιπται καὶ ἡ
ἀρετὴ πέφευγεν, οἷόν τι καὶ οἱ κύνες πάσχουσιν· ἐπειδάν τις
ὀστοῦν ἐς μέσους αὐτοὺς ἐμβάλῃ, ἀναπηδήσαντες δάκνου-
σιν ἀλλήλους καὶ τὸν προαρπάσαντα τὸ ὀστοῦν ὑλακτοῦσι.
λέγεται δὲ καὶ βασιλεύς τις Αἰγύπτιος πιθήκους ποτὲ πυρ-
ριχίζειν διδάξαι καὶ τὰ θηρία — μιμηλότατα δέ ἐστι τῶν
ἀνθρωπίνων — ἐκμαθεῖν τάχιστα καὶ ὀρχεῖσθαι ἁλουργίδας
ἀμπεχόμενα καὶ προσωπεῖα περικείμενα, καὶ μέχρι γε πολ-
λοῦ εὐδοκιμεῖν τὴν θέαν, ἄχρι δή τις θεατὴς ἀστεῖος κάρυα
ὑπὸ κόλπον ἔχων ἀφῆκεν ἐς τὸ μέσον· οἱ δὲ πίθηκοι ἰδόντες
καὶ ἐκλαθόμενοι τῆς ὀρχήσεως, τοῦθ᾽ ὅπερ ἦσαν, πίθηκοι
ἐγένοντο ἀντὶ πυρριχιστῶν καὶ ξυνέτριβον τὰ προσωπεῖα καὶ
τὴν ἐσθῆτα κατερρήγνυον καὶ ἐμάχοντο περὶ τῆς ὀπώρας
πρὸς ἀλλήλους, τὸ δὲ σύνταγμα τῆς πυρρίχης διελέλυτο καὶ
37 κατεγελᾶτο ὑπὸ τοῦ θεάτρου. τοιαῦτα καὶ οὗτοι ποιοῦσι, καὶ
ἔγωγε τοὺς τοιούτους κακῶς ἠγόρευον καὶ οὔποτε παύσομαι

36. ὑλακτοῦσι: with acc. Cf. Ar. *Vesp.* 1401–1402:

Αἴσωπον ἀπὸ δείπνου βαδίζονθ᾽ ἑσπέρας
θρασεῖα καὶ μεθύση τις ὑλάκτει κύων.

And the context here about the dancing apes suggests the fable (in Aesop *Fab.* Halm. 88) of the weasel metamorphosed into a pro tempore maiden but recalled to her weaselhood by the sudden advent of a mouse. See, too, the story (cited by Heitland) in *Apol.* 5, about the ape ὃν Κλεοπάτρᾳ τῇ πάνυ φασὶ γενέσθαι· ἐκεῖνον γὰρ διδαχθέντα τέως μὲν ὀρχεῖσθαι πάνυ κοσμίως καὶ ἐμμελῶς . . . ἐπεὶ δὲ εἶδεν ἰσχάδας, οἶμαι, ἢ ἀμύγδαλον πόρρω κειμένην, μακρὰ χαίρειν φράσαντα τοῖς αὐλοῖς καὶ ῥυθμοῖς καὶ ὀρχήμασι, συναρπάσαντα κατατρώγειν, ἀπορρίψαντα, μᾶλλον δὲ συντρίψαντα τὸ προσωπεῖον. — **πυρριχίζειν**: the Spartan and Cretan military dance degenerated — or developed — into a mimetic ballet. See Dict. Antiq. s.v. "Pyrrhica" and "Pantomimus." — **ὀπώρας**: this word is used both for fruit trees, cf. *V. H.* B 13,

διελέγχων καὶ κωμῳδῶν, περὶ ὑμῶν δὲ ἢ τῶν ὑμῖν παραπλησίων — εἰσὶ γάρ. εἰσί τινες ὡς ἀληθῶς φιλοσοφίαν ζηλοῦντες καὶ τοῖς ὑμετέροις νόμοις ἐμμένοντες — μὴ οὕτω μανείην ἐγὼ ὡς βλάσφημον εἰπεῖν τι ἢ σκαιόν. τί γὰρ ὑμῖν τοιοῦτο βεβίωται; τοὺς δὲ ἀλαζόνας ἐκείνους καὶ θεοῖς ἐχθροὺς ἄξιον οἶμαι μισεῖν. ἢ σὺ γάρ, ὦ Πυθαγόρα καὶ Πλάτων καὶ Χρύσιππε καὶ Ἀριστότελες, τί φατε; προσήκειν ὑμῖν τοὺς τοιούτους ἢ οἰκεῖόν τι καὶ ξυγγενὲς ἐπιδείκνυσθαι τῷ βίῳ; νὴ Δία Ἡρακλῆς, φασί, καὶ πίθηκος. ἢ διότι πώγωνας ἔχουσι καὶ φιλοσοφεῖν φάσκουσι, διὰ τοῦτο χρὴ ὑμῖν εἰκάζειν αὐτούς; ἀλλὰ ἤνεγκα ἄν, εἰ πιθανοὶ γοῦν ἦσαν καὶ ἐπὶ τῆς ὑποκρίσεως αὐτῆς· νῦν δὲ θᾶττον ἂν γὺψ ἀηδόνα μιμήσαιτο ἢ οὗτοι φιλοσόφους. εἴρηκα ὑπὲρ ἐμαυτοῦ ὁπόσα εἶχον. σὺ δέ, ὦ Ἀλήθεια, μαρτύρει πρὸς αὐτοὺς εἰ ἀληθῆ ἐστι.

38 ΦΙΛ. Μετάστηθι, ὦ Παρρησιάδη, ἔτι πορρωτέρω. τί ποιῶμεν ἡμεῖς; πῶς ὑμῖν εἰρηκέναι ἁνὴρ ἔδοξεν;

ΑΛΗΘ. Ἐγὼ μέν, ὦ Φιλοσοφία, μεταξὺ λέγοντος αὐτοῦ κατὰ τῆς γῆς δῦναι ηὐχόμην· οὕτως ἀληθῆ πάντα εἶπεν. ἐγνώριζον γοῦν ἀκούουσα ἕκαστον τῶν ποιούντων αὐτὸ κἀφήρμοζον μεταξὺ τοῖς λεγομένοις Τοῦτο μὲν ἐς τόνδε, τοῦτο δὲ ὁ δεῖνα ποιεῖ· καὶ ὅλως ἔδειξε τοὺς ἄνδρας ἐναργῶς καθάπερ ἐπί τινος γραφῆς πάντα ἐοικότας, οὐ τὰ σώματα μόνον, ἀλλὰ καὶ τὰς ψυχὰς αὐτὰς ἐς τὸ ἀκριβέστατον ἀπεικάσας.

ΣΩΦΡ. Κἀγὼ πάνυ ἠρυθρίασα, ὦ Ἀλήθεια.

ΦΙΛ. Ὑμεῖς δὲ τί φατε;

and for the fruit itself such as grapes, pears, etc.; cf. Plato *Legg.* 844 D ff. Here it refers to the *nuts*, *κάρυα*.

37. **οὕτω . . . ὡς**: see Introd. 26. — **σὺ . . . τί φατε**: note plural verb. — **Ἡρακλῆς καὶ πίθηκος**: proverbial of an utter contrast, like "Beauty and the Beast."

38. **Τοῦτο μὲν ἐς τόνδε**: sc. *ἁρμόζει*, intrans. as in Isocr. 21 D *τὸ δὲ πρὸς τὰς συνουσίας ἁρμόττει*. — **καθάπερ ἐπί τινος γραφῆς**: cf. *Char.* 6 *ὥσπερ ἐν γραφαῖς*.

ΑΝΑΒ. Τί δὲ ἄλλο ἢ ἀφεῖσθαι αὐτὸν τοῦ ἐγκλήματος καὶ φίλον ἡμῖν καὶ εὐεργέτην ἀναγεγράφθαι: τὸ γοῦν τῶν Ἰλιέων ἀτεχνῶς πεπόνθαμεν, τραγῳδόν τινα τοῦτον ἐφ' ἡμᾶς κεκινήκαμεν ᾀσόμενον τὰς Φρυγῶν ξυμφοράς. ᾀδέτω δ' οὖν καὶ τοὺς θεοῖς ἐχθροὺς ἐκτραγῳδείτω.

ΔΙΟΓ. Καὶ αὐτός, ὦ Φιλοσοφία, πάνυ ἐπαινῶ τὸν ἄνδρα καὶ ἀνατίθεμαι τὰ κατηγορούμενα καὶ φίλον ποιοῦμαι αὐτὸν γενναῖον ὄντα.

39 ΦΙΛ. Εὖ γε, ὦ Παρρησιάδη· ἀφίεμέν σε τῆς αἰτίας, καὶ ταῖς πάσαις κρατεῖς καὶ τὸ λοιπὸν ἴσθι ἡμέτερος ὤν.

ΠΑΡΡ. Προσεκύνησα τὴν Πτερωτήν· μᾶλλον δὲ τραγικώτερον αὐτὸ ποιήσειν μοι δοκῶ· σεμνότερον γάρ·

ὦ μέγα σεμνὴ Νίκη, τὸν ἐμὸν
βίοτον κατέχοις
καὶ μὴ λήγοις στεφανοῦσα.

ΑΡΕΤ. Οὐκοῦν δευτέρου κρατῆρος ἤδη καταρχώμεθα, προσκαλῶμεν κἀκείνους, ὡς δίκην ὑπόσχωσιν ἀνθ' ὧν ἐς ὑμᾶς ὑβρίζουσι· κατηγορήσει δὲ Παρρησιάδης ἑκάστου.

— **τὸ τῶν Ἰλιέων**: a proverbial expression like "We have only ourselves to blame for it." It is more fully given in *Pseudolog.* 10 ἐπεὶ γὰρ κατὰ τὴν παροιμίαν Ἰλιεὺς ὢν τραγῳδοὺς ἐμισθώσω, καιρὸς ἤδη σοι ἀκούειν τὰ σαυτοῦ κακά.

39. **ταῖς πάσαις** (sc. ψήφοις): in *Bis Acc.* 32 the disguised Lucian lacks one vote of unanimous acquittal. ΔΙΚ. τίς κρατεῖ; ΕΡΜ. πάσαις ὁ Σύρος πλὴν μιᾶς. — **Προσεκύνησα**: cf. § 5 note. — **τὴν Πτερωτήν**: a happy conjecture for τήν γε πρώτην. See App. The winged Victory, crowned with a golden wreath, and standing on the outstretched hand of the great chryselephantine Athena in the Parthenon, was itself more than six feet high. We must suppose that Lucian addresses this Nike. — **ὦ . . . στεφανοῦσα**:

O majestical Victory, shelter my life
'Neath thy covert of wings—
Aye—cease not to grant me thy crowning.

μέγα is adverbial like πάνυ. This anapaestic formula is found at the end of three Euripidean plays; i.e. the *Tauric Iphigenia*, *Orestes*, and *Phoenissae.* Another formula (presumably repeated by the actors) was used at the end of the *Alcestis*, *Andromache*, *Bacchae*, *Helena*, and *Medea*, and is likewise borrowed by Lucian for the grand finale

ΠΑΡΡ. Ὀρθῶς, ὦ Ἀρετή, ἔλεξας· ὥστε σύ, παῖ Συλλογισμέ, κατακύψας ἐς τὸ ἄστυ προσκήρυττε τοὺς φιλοσόφους.

40 ΣΥΛΛ. Ἄκουε, σίγα· τοὺς φιλοσόφους ἥκειν ἐς ἀκρόπολιν ἀπολογησομένους ἐπὶ τῆς Ἀρετῆς καὶ Φιλοσοφίας καὶ Δίκης.

ΠΑΡΡ. Ὁρᾷς; ὀλίγοι συνέρχονται γνωρίσαντες τὸ κήρυγμα· ἄλλως γὰρ δεδίασι τὴν Δίκην. οἱ πολλοὶ δὲ αὐτῶν οὐδὲ σχολὴν ἄγουσιν ἀμφὶ τοὺς πλουσίους ἔχοντες. εἰ δὲ βούλει πάντας ἥκειν, κατὰ τάδε, ὦ Συλλογισμέ, κήρυττε.

ΦΙΛ. Μηδαμῶς, ἀλλὰ σύ, ὦ Παρρησιάδη, προσκάλει καθ' ὅ τι σοι δοκεῖ.

41 ΠΑΡΡ. Οὐδὲν τόδε χαλεπόν. Ἄκουε, σίγα. ὅσοι φιλόσοφοι εἶναι λέγουσι καὶ ὅσοι προσήκειν αὐτοῖς οἴονται τοῦ ὀνόματος, ἥκειν ἐς ἀκρόπολιν ἐπὶ τὴν διανομήν. δύο μναῖ ἑκάστῳ δοθήσονται καὶ σησαμαῖος πλακοῦς· ὃς δ' ἂν πώγωνα βαθὺν ἐπιδείξηται, καὶ παλάθην ἰσχάδων οὗτός γε

of his *Symposium*. — **παῖ Συλλογισμέ κτλ.**: *Deduction, my boy* (*induct them into the Acropolis*). Συλλογισμέ is chosen, apparently, as a pun on συλλέγω.

40. Ἄκουε, σίγα: this formula is used again *Deor. Concil.* 1, while in *Bis Acc.* 12 we find ἀκούετε λεῴ (cf. *Oyez! Oyez!*). See Ar. *Aves* 448; *Pax* 551; *Ach.* 1000. For σίγα cf. *Ach.* 123 where the herald cries σίγα, κάθιζε. For ἥκειν as imv., chiefly in poetry and legal language, cf. Gildersleeve, *S.C.G.* 420, 5. In Ar. *Ach.* 172 the herald uses it bluntly without any ἀκούετε, i.e. τοὺς Θρᾷκας ἀπιέναι.

41. δύο μναῖ . . . σησαμαῖος πλακοῦς: Ruskin takes this as motto in Sect. I of *Sesame and Lilies*. These cakes were a favorite dish. In Luc. *Symp.* 38 they form an essential part of the feast: εἰσεκεκόμιστο ἡμῖν τὸ ἐντελὲς ὀνομαζόμενον δεῖπνον, μία ὄρνις ἑκάστῳ καὶ κρέας ὑὸς καὶ λαγῷα καὶ ἰχθὺς ἐκ ταγήνου καὶ σησαμοῦντες καὶ ὅσα ἐντραγεῖν. So in *Symp.* 27 the Stoic who had been left out notifies the host by letter that it would be useless to try to appease him by sending μοῖράν τινα ἢ συὸς ἢ ἐλάφου ἢ σησαμοῦντος, and the Cynic in § 16 had been tamed down by the providential advent of a πλακοῦς εὐμεγέθης, πρὸς ὃν ἀποβλέψας ἡμερώτερος ἐγένετο καὶ ἔληξε τοῦ θυμοῦ καὶ ἐνεφορεῖτο (*and proceeded to lay in a cargo*) συμπεριιὼν (*accompanying the waiter as he made his rounds*). Cf. § 13, where he is described as changing, like the Scythian nomads, ever to pastures new as he followed round with the waiters who

προσεπιλήψεται· κομίζειν δ' ἕκαστον σωφροσύνην μὲν ἢ δικαιοσύνην ἢ ἐγκράτειαν μηδαμῶς· οὐκ ἀναγκαῖα γὰρ ταῦτά γε, ἢν μὴ παρῇ· πέντε δὲ συλλογισμοὺς ἐξ ἅπαντος· οὐ γὰρ θέμις ἄνευ τούτων εἶναι σοφόν.

> κεῖται δ' ἐν μέσσοισι δύο χρυσοῖο τάλαντα,
> τῷ δόμεν ὃς μετὰ πᾶσιν ἐριζέμεν ἔξοχος εἴη.

42 Βαβαί, ὡς πλήρης μὲν ἡ ἄνοδος ὠθιζομένων, ἐπεὶ τὰς δύο μνᾶς ἤκουσαν μόνον. παρὰ δὲ τὸ Πελασγικὸν ἄλλοι καὶ κατὰ τὸ Ἀσκληπιεῖον ἕτεροι καὶ παρὰ τὸν Ἄρειον πάγον ἔτι πλείους, ἔνιοι δὲ καὶ κατὰ τὸν τοῦ Τάλω τάφον, οἱ δὲ καὶ πρὸς τὸ Ἀνακεῖον προσθέμενοι κλίμακας ἀνέρπουσι βομβηδὸν νὴ

bore the relishes. — **συλλογισμούς**: cf. *Vit. Auct.* 24. — **κεῖται δ'** κτλ.: a parody on *Il.* 18, 507 ff.:

> κεῖτο δ' ἄρ' ἐν μέσσοισι δύο χρυσοῖο τάλαντα,
> τῷ δόμεν ὃς μετὰ τοῖσι δίκην ἰθύντατα εἴποι.

42. Βαβαί κτλ.: for a similar scene cf. *Bis Acc.* 12 and 13 (beginning βαβαὶ τοῦ θορύβου) where the parties to all overdue suits are summoned by Hermes to the Areopagus. — **παρὰ δὲ τὸ Πελασγικόν**: as Parrhesiades mentions the following places he must be supposed to move from one side to the other of the Acropolis: (*a*) τὸ Πελασγικόν, a large precinct at the base of the Acropolis extending from the Asclepieum on the south side, about opposite the southwest corner of the Parthenon, round the west end and the northwest corner of the rock. Cf. *Bis Acc.* 9, where Pan's cave is mentioned as μικρὸν ὑπὲρ Πελασγικοῦ, and see charts in Harrison and Verrall, *Mythol. and Monuments of Anc. Athens*, p. 296 and p. 4; see also p. 538. (*b*) κατὰ τὸ Ἀσκληπιεῖον: on the south side of the Acropolis adjoining the Dionysiac Theatre; see Harrison and Verrall l.c. and pp. 297–329. (*c*) παρὰ τὸν Ἄρειον πάγον: the Areopagus lies west and slightly north of the Acropolis. (*d*) κατὰ τὸν τοῦ Τάλω τάφον: immediately above the Dionysiac Theatre and the Asclepieum, on the south side of the Acropolis and at the base of the cliff. Cf. Harrison and Verrall, pp. 296 and 299. Talos (called Kalos by Pausanias 1, 21, 4) was thrown down this cliff by his master and uncle Daedalus on account of his inventions and too great proficiency in pottery, just as the boy Lucian excited (as he alleges to his mother *Somn.* 4) his uncle's jealousy. (*e*) πρὸς τὸ Ἀνακεῖον: the Ἄνακες (ἄνακτες or Διόσκουροι) had their precinct probably on the northern slope of the Acropolis. For the worship of the Twins at Athens see Harrison and Verrall, pp. 151–163. Note in the above the shift in the prepositions

Δία καὶ βοτρυδόν, ἵνα καὶ καθ᾽ Ὅμηρον εἴπω, ἀλλὰ κἀκεῖθεν εὖ μάλα πολλοὶ κἀντεῦθεν

μυρίοι, ὅσσα τε φύλλα καὶ ἄνθεα γίνεται ὥρῃ.

μεστὴ δὲ ἡ ἀκρόπολις ἐν βραχεῖ κλαγγηδὸν προκαθιζόντων καὶ πανταχοῦ πήρα πώγων κολακεία ἀναισχυντία βακτηρία λιχνεία συλλογισμὸς φιλαργυρία· οἱ ὀλίγοι δέ, ὁπόσοι πρὸς τὸ πρῶτον κήρυγμα ἐκεῖνο ἀνῄεσαν, ἀφανεῖς καὶ ἄσημοι, ἀναμιχθέντες τῷ πλήθει τῶν ἄλλων, καὶ λελήθασιν ἐν τῇ ὁμοιότητι τῶν ἄλλων σχημάτων. τοῦτο γοῦν τὸ δεινότατόν ἐστιν, ὦ Φιλοσοφία, καὶ ὅ τις ἂν μέμψαιτό σου μάλιστα, τὸ μηδὲ ἐπιβαλεῖν γνώρισμα καὶ σημεῖον αὐτοῖς· πιθανώτεροι γὰρ οἱ γόητες οὗτοι πολλάκις τῶν ἀληθῶς φιλοσοφούντων.

ΦΙΛ. Ἔσται τοῦτο μετ᾽ ὀλίγον, ἀλλὰ δεχώμεθα ἤδη αὐτούς.

43 ΠΛΑΤ. Ἡμᾶς πρώτους χρὴ τοὺς Πλατωνικοὺς λαβεῖν.

ΠΥΘ. Οὔκ, ἀλλὰ τοὺς Πυθαγορικοὺς ἡμᾶς· πρότερος γὰρ ὁ Πυθαγόρας ἦν.

ΣΤΩΙΚ. Ληρεῖτε· ἀμείνους ἡμεῖς οἱ ἀπὸ τῆς στοᾶς.

ΠΕΡ. Οὐ μὲν οὖν, ἀλλὰ ἔν γε τοῖς χρήμασι πρῶτοι ἂν ἡμεῖς εἴημεν οἱ ἐκ τοῦ περιπάτου.

ΕΠΙΚ. Ἡμῖν τοῖς Ἐπικουρείοις τοὺς πλακοῦντας δότε καὶ τὰς παλάθας· περὶ δὲ τῶν μνῶν περιμενοῦμεν, κἂν ὑστάτους δέῃ λαμβάνειν.

ΑΚΑΔ. Ποῦ τὰ δύο τάλαντα; δείξομεν γὰρ οἱ Ἀκαδημαϊκοὶ ὅσον τῶν ἄλλων ἐσμὲν ἐριστικώτεροι.

παρά, κατά, παρά, κατά, πρός. — **μυρίοι κτλ.**: *Il.* 2, 468. Another Homeric reminiscence; as *βοτρυδόν* from *Il.* 2, 89 and *κλαγγηδὸν προκαθιζόντων*, from *Il.* 2, 463. — **πήρα . . . φιλαργυρία**: comic collocation: first two pairs of the outer and inner indicia, then the outer and inner alternate.

43. οἱ Ἀκαδημαϊκοί: the newer Academics, e.g. Arcesilaus, about 250 B.C.,

ΣΤΩΙΚ. Οὐχ ἡμῶν γε τῶν Στωικῶν παρόντων.

44 ΦΙΛ. Παύσασθε φιλονεικοῦντες· ὑμεῖς δὲ οἱ Κυνικοὶ μήτε ὠθεῖτε ἀλλήλους μήτε τοῖς ξύλοις παίετε· ἐπ᾽ ἄλλα γὰρ ἴστε κεκλημένοι· καὶ νῦν ἔγωγε ἡ Φιλοσοφία καὶ Ἀρετὴ αὕτη καὶ Ἀλήθεια δικάσομεν τίνες οἱ ὀρθῶς φιλοσοφοῦντές εἰσιν, εἶτα ὅσοι μὲν ἂν εὑρεθῶσι κατὰ τὰ ἡμῖν δοκοῦντα βιοῦντες, εὐδαιμονήσουσιν ἄριστοι κεκριμένοι· τοὺς γόητας δὲ καὶ οὐδὲν ἡμῖν προσήκοντας κακοὺς κακῶς ἐπιτρίψομεν, ὡς μὴ ἀντιποιοῖντο τῶν ὑπὲρ αὐτοὺς ἀλαζόνες ὄντες. τί τοῦτο; φεύγετε; νὴ Δία, κατὰ τῶν γε κρημνῶν οἱ πολλοὶ ἁλλόμενοι. κενὴ δ᾽ οὖν ἡ Ἀκρόπολις, πλὴν ὀλίγων τούτων, ὁπόσοι μεμε-
45 νήκασιν οὐ φοβηθέντες τὴν κρίσιν. οἱ ὑπηρέται, ἀνέλεσθε τὴν πήραν ἣν ὁ Κυνίσκος ἀπέρριψεν ἐν τῇ τροπῇ. φέρ᾽ ἴδω τί καὶ ἔχει, ἦ που θέρμους ἢ βιβλίον ἢ ἄρτους τῶν αὐτοπυριτῶν;

ΠΑΡΡ. Οὔκ, ἀλλὰ χρυσίον τουτὶ καὶ μύρον καὶ κάτοπτρον καὶ κύβους.

ΦΙΛ. Εὖ γε, ὦ γενναῖε. τοιαῦτά σοι ἦν τὰ ἐφόδια τῆς ἀσκήσεως καὶ μετὰ τούτων ἠξίους λοιδορεῖσθαι ἅπασι καὶ τοὺς ἄλλους παιδαγωγεῖν;

ΠΑΡΡ. Τοιοῦτοι μὲν οὖν ὑμῖν οὗτοι. χρὴ δὲ ὑμᾶς σκοπεῖν ὅντινα τρόπον ἀγνοούμενα ταῦτα πεπαύσεται καὶ διαγνώσονται οἱ ἐντυγχάνοντες, οἵτινες οἱ ἀγαθοὶ αὐτῶν καὶ οἵτινες αὖ πάλιν οἱ τοῦ ἑτέρου βίου.

ΦΙΛ. σύ, ὦ Ἀλήθεια, ἐξεύρισκε — ὑπὲρ σοῦ γὰρ τοῦτο γένοιτο ἂν — ὡς μὴ ἐπικρατήσῃ τὸ ψεῦδος μηδὲ ὑπὸ τῇ

founder of the Middle Academy, and Carneades, about 150 B.C., founder of the Third or New Academy. He asserted that there was no sure criterion of truth. Hence Lucian often classifies the (new) Academics and Sceptics together. The Old Academy is represented above by *τοὺς Πλατωνικούς*. — **ἐριστικώτεροι**: referring to *ἐριζέμεν*, end of § 41.

44. ἀντιποιοῖντο: opt. after primary tense, see Introd. 35 (*a*).

45. οἱ ὑπηρέται: for case see § 21. — **τῶν αὐτοπυριτῶν**: *of whole-wheat bread.* For case cf. *τῶν ναυπηγικῶν* in note on § 46, contrast gen. in Introd. 31. — **τῆς ἀσκήσεως**: *for your profession.*

ἀγνοίᾳ λανθάνωσιν οἱ φαῦλοι τῶν ἀνδρῶν σε τοὺς χρηστοὺς μεμιμημένοι.

46 ΑΛΗΘ. Ἐπ' αὐτῷ. εἰ δοκεῖ, Παρρησιάδη ποιησώμεθα τὸ τοιοῦτον, ἐπεὶ χρηστὸς ὦπται καὶ εὔνους ἡμῖν καὶ σέ, ὦ Φιλοσοφία, μάλιστα θαυμάζων, τὸ παραλαβόντα μεθ' ἑαυτοῦ τὸν Ἔλεγχον ἅπασι τοῖς φάσκουσι φιλοσοφεῖν ἐντυγχάνειν. εἶθ' ὃν μὲν ἂν εὕρῃ γνήσιον ὡς ἀληθῶς φιλόσοφον, στεφανωσάτω θαλλοῦ στεφάνῳ καὶ ἐς τὸ Πρυτανεῖον καλεσάτω. ἢν δέ τινι — οἷοι πολλοί εἰσι — καταράτῳ ἀνδρὶ ὑποκριτῇ φιλοσοφίας ἐντύχῃ, τὸ τριβώνιον περισπάσας ἀποκειράτω τὸν πώγωνα ἐν χρῷ πάνυ τραγοκουρικῇ μαχαίρᾳ καὶ ἐπὶ τοῦ μετώπου στίγματα ἐπιβαλέτω ἢ ἐγκαυσάτω κατὰ τὸ μεσόφρυον· ὁ δὲ τύπος τοῦ καυτῆρος ἔστω ἀλώπηξ ἢ πίθηκος.

ΦΙΛ. Εὖ γε, ὦ Ἀλήθεια· ὁ δὲ ἔλεγχος, ὦ Παρρησιάδη, τοιόσδε ἔστω, οἷος ὁ τῶν ἀετῶν πρὸς τὸν ἥλιον εἶναι λέγεται, οὐ μὰ Δί' ὥστε κἀκείνους ἀντιβλέπειν τῷ φωτὶ καὶ πρὸς ἐκεῖνο δοκιμάζεσθαι, ἀλλὰ προθεὶς χρυσίον καὶ δόξαν καὶ ἡδονὴν ὃν μὲν ἂν αὐτῶν ἴδῃς ὑπερορῶντα καὶ μηδαμῶς ἑλκόμενον πρὸς τὴν ὄψιν, οὗτος ἔστω τῷ θαλλῷ στεφόμενος, ὃν δ' ἂν ἀτενὲς ἀποβλέποντα καὶ τὴν χεῖρα ὀρέγοντα ἐπὶ τὸ χρυσίον, ἀπάγειν ἐπὶ τὸ καυτήριον τοῦτον ἀποκείραντα πρότερον τὸν πώγωνα.

46. **ἀποκειράτω . . . μαχαίρᾳ**: cf. the shearing of the philosopher's beard in *D. Mort.* 10, 9. ΦΙΛ. καὶ τίς ὁ ἀποκείρων ἔσται; ΕΡΜ. Μένιππος οὑτοσὶ λαβὼν πέλεκυν τῶν ναυπηγικῶν ἀποκόψει αὐτὸν (i.e. τὸν πώγωνα) ἐπικόπῳ τῇ ἀποβάθρᾳ χρησάμενος. — **στίγματα ἐπιβαλέτω ἢ ἐγκαυσάτω**: *let him tattoo or brand.* Cf. *Catapl.* 24 ff. where, at the trial before Rhadamanthus, it appears that ὁπόσα ἄν τις . . . πονηρὰ ἐργάσηται παρὰ τὸν βίον, καθ' ἕκαστον αὐτῶν ἀφανῆ στίγματα ἐπὶ τῆς ψυχῆς περιφέρει. — **ὁ τῶν ἀετῶν**: in *Icar.* 14 an eagle is the king eagle if ἀντίον δέδορκε τῷ ἡλίῳ and ἢν ἀσκαρδαμυκτὶ (*without winking*) πρὸς τὰς ἀκτῖνας βλέπῃ. — **ἐπὶ τὸ καυτήριον**: *branding-place* (cf. δικαστήριον, βουλευτήριον, and § 27 πωλητήριον), or perhaps *branding-iron* or *brand* as in § 52.

47 ΠΑΡΡ. Ὡς ἔδοξεν ἔσται ταῦτα, ὦ Φιλοσοφία, καὶ ὄψει αὐτίκα μάλα τοὺς πολλοὺς αὐτῶν ἀλωπεκίας ἢ πιθηκοφόρους, ὀλίγους δὲ καὶ ἐστεφανωμένους· εἰ βούλεσθε μέντοι, κἀνταῦθα ἀνάξω τινὰς ὑμῖν νὴ Δί' αὐτῶν.

ΦΙΛ. Πῶς λέγεις; ἀνάξεις τοὺς φυγόντας;

ΠΑΡΡ. Καὶ μάλα, ἤνπερ ἡ ἱέρειά μοι ἐθελήσῃ πρὸς ὀλίγον χρῆσαι τὴν ὁρμιὰν ἐκείνην καὶ τὸ ἄγκιστρον, ὅπερ ὁ ἁλιεὺς ἀνέθηκεν ὁ ἐκ Πειραιῶς.

ΙΕΡ. Ἰδοὺ δὴ λαβέ, καὶ τὸν κάλαμόν γε ἅμα, ὡς πάντα ἔχοις.

ΠΑΡΡ. Οὐκοῦν, ὦ ἱέρεια, καὶ ἰσχάδας μοί τινας δὸς ἀνύσασα καὶ ὀλίγον τοῦ χρυσίου.

ΙΕΡ. Λάμβανε.

ΦΙΛ. Τί πράττειν ἁνὴρ διανοεῖται;

ΙΕΡ. Δελεάσας τὸ ἄγκιστρον ἰσχάδι καὶ τῷ χρυσίῳ καθεζόμενος ἐπὶ τὸ ἄκρον τοῦ τειχίου καθῆκεν ἐς τὴν πόλιν.

ΦΙΛ. Τί ταῦτα, ὦ Παρρησιάδη, ποιεῖς; ἦ που τοὺς λίθους ἁλιεύσειν διέγνωκας ἐκ τοῦ Πελασγικοῦ;

ΠΑΡΡ. Σιώπησον, ὦ Φιλοσοφία, καὶ τὴν ἄγραν περίμενε· σὺ δέ, Πόσειδον ἀγρεῦ καὶ Ἀμφιτρίτη φίλη, πολλοὺς ἡμῖν
48 ἀνάπεμπε τῶν ἰχθύων. ἀλλ' ὁρῶ τινα λάβρακα εὐμεγέθη, μᾶλλον δὲ χρύσοφρυν.

47. **ἀλωπεκίας ἢ πιθηκοφόρους**: the *fox-and-monkey brand.* *πιθηκοφόρους* is coined on the analogy of *σαμφόρας* (Ar. *Nub.* 122), a blooded horse branded sampi (ϡ), and *ἀλωπεκίας* to recall *κοππατίας* (Ar. *Nub.* 23), *ϙ-branded*, is perverted from its meaning of "thresher shark." This anticipates, too, the shark-fishing below. In another passage (*Indoct.* 5), Lucian has *κοππαφόρον* meaning a *Corinthian* bred horse with a Pegasus pedigree, ϙ standing for *ϙόρινθος*. — **ἡ ἱέρεια** (sc. *τῆς Πολιάδος*): see § 21. — **ὁ ἁλιεύς**: this concluding incident prevailed in the title. It contains in brief the leading idea — Lucian's crusade against sharks and shams. The "Resurrected" are only a chorus. — **ἀνέθηκεν**: this or the imperfect is regularly used in inscriptions of the person who dedicates an offering. — **ἐκ τοῦ Πελασγικοῦ**: see note on § 42. — **τὴν ἄγραν**: cf. S. Luke 5, 9 *ἐπὶ τῇ ἄγρᾳ τῶν ἰχθύων*. — **ἀγρεῦ**: an available epithet for the appropriate god in the mouth of the hunter.

48. **λάβρακα** and **χρύσοφρυν**: the *snatcher* and the *gilt-head* naturally

ΕΛΕΓ. Οὔκ, ἀλλὰ γαλεός ἐστι· προσέρχεται δὴ τῷ ἀγκίστρῳ κεχηνώς. ὀσφρᾶται τοῦ χρυσίου· πλησίον ἤδη ἐστίν· ἔψαυσεν· εἴληπται· ἀνασπάσωμεν.

ΠΑΡΡ. Καὶ σύ, ὦ Ἔλεγχε, νῦν ξυνεπιλαβοῦ τῆς ὁρμιᾶς· ἄνω ἐστί. φέρ' ἴδω τίς εἶ, ὦ βέλτιστε ἰχθύων; κύων οὗτός γε. Ἡράκλεις τῶν ὀδόντων. τί τοῦτο, ὦ γενναιότατε; εἴληψαι λιχνεύων περὶ τὰς πέτρας, ἔνθα λήσειν ἤλπισας ὑποδεδυκώς; ἀλλὰ νῦν ἔσῃ φανερὸς ἅπασιν ἐκ τῶν βραγχίων ἀπηρτημένος. ἐξέλωμεν τὸ δέλεαρ καὶ τὸ ἄγκιστρον. τὸ δὲ τί; κενόν σοι τὸ ἄγκιστρον· ἡ δ' ἰσχὰς ἤδη προσέσχηται καὶ τὸ χρυσίον ἐν τῇ κοιλίᾳ.

ΔΙΟΓ. Μὰ Δί' ἐξεμεσάτω, ὡς δὴ καὶ ἐπ' ἄλλους δελεάσωμεν.

ΠΑΡΡ. Εὖ ἔχει· τί φῄς, ὦ Διόγενες; οἶσθα τοῦτον ὅστις ἐστίν, ἢ προσήκει σοί τι ἁνήρ;

ΔΙΟΓ. Οὐδαμῶς.

ΠΑΡΡ. Τί οὖν; πόσου ἄξιον αὐτὸν χρὴ φάναι; ἐγὼ μὲν γὰρ δύ' ὀβολῶν πρῴην αὐτὸν ἐτιμησάμην.

ΔΙΟΓ. Πολλοῦ λέγεις· ἄβρωτός τε γάρ ἐστι καὶ εἰδεχθὴς καὶ σκληρὸς καὶ ἄτιμος· ἄφες αὐτὸν ἐπὶ κεφαλὴν ἀπὸ τῆς πέτρας· σὺ δὲ ἄλλον ἀνάσπασον καθεὶς τὸ ἄγκιστρον. ἐκεῖνο μέντοι ὅρα, ὦ Παρρησιάδη, μὴ καμπτόμενός σοι ὁ κάλαμος ἀποκλασθῇ.

came first to the hook. — **γαλεός**: a kind of shark. Tr. *sea-cat* (see Cent. Dict. s.v. "Wolf-fish") or *cat-fish*. This latter name is applied to the wolf-fish; to the common American cat-fish, which sometimes weighs a hundred pounds; and, locally, in England, to the Scyllioid shark. We have the *dog-shark*, and the fish in question here turns out, when landed, to be *κύων τις*. — **προσέρχεται . . . ἀνασπάσωμεν**: note the effective asyndeta. — **ὀσφρᾶται**: the classic form is *ὀσφραίνεται*. — **Ἡράκλεις**: the oath, as usual, is chosen with judgment. Heracles was the patron saint of Cynics. At the Banquet (§ 16) the Cynic says to the bride, *προπίνω σοι, ὦ Κλεανθί, Ἡρακλέους ἀρχηγέτου*. — **Εὖ ἔχει**: *that's right!* (said as the gold reappears). — **δύ' ὀβολῶν πρῴην**: the price paid for Diogenes *Vit. Auct.* 11. — **Πολλοῦ λέγεις**: so, in *D. Mort.* 4, 1, Charon complains of the price paid by Hermes for the anchor. — **ἐκεῖνο μέντοι ὅρα**: *but*

ΠΑΡΡ. Θάρρει, ὦ Διόγενες· κοῦφοί εἰσι καὶ τῶν ἀφύων ἐλαφρότεροι.

ΔΙΟΓ. Νὴ Δί', ἀφυέστατοί γε· ἀνάσπα δὲ ὅμως.

49 ΠΑΡΡ. Ἰδού· τίς ἄλλος οὗτος ὁ πλατύς; ὥσπερ ἡμίτομος ἰχθὺς προσέρχεται, ψῆττά τις, κεχηνὼς ἐς τὸ ἄγκιστρον· κατέπιεν, ἔχεται, ἀνεσπάσθω.

ΔΙΟΓ. Τίς ἐστιν;

ΕΛΕΓ. Ὁ Πλατωνικὸς εἶναι λέγων.

ΠΛΑΤ. Καὶ σύ, ὦ κατάρατε, ἥκεις ἐπὶ τὸ χρυσίον;

ΠΑΡΡ. Τί φῄς, ὦ Πλάτων; τί ποιῶμεν αὐτόν;

ΠΛΑΤ. Ἀπὸ τῆς αὐτῆς πέτρας καὶ οὗτος.

50 ΔΙΟΓ. Ἐπ' ἄλλον καθείσθω.

ΠΑΡΡ. Καὶ μὴν ὁρῶ τινα πάγκαλον προσιόντα, ὡς ἂν ἐν βυθῷ δόξειεν, ποικίλον τὴν χρόαν, ταινίας τινὰς ἐπὶ τοῦ νώτου ἐπιχρύσους ἔχοντα. ὁρᾷς, ὦ Ἔλεγχε; ὁ τὸν Ἀριστοτέλην προσποιούμενος οὗτός ἐστιν. ἦλθεν· εἶτα πάλιν ἀπενήξατο. περισκοπεῖ ἀκριβῶς· αὖθις ἐπανῆλθεν· ἔχανεν· εἴληπται· ἀνιμήσθω.

ΑΡΙΣΤ. Μὴ ἔρῃ με, ὦ Παρρησιάδη, περὶ αὐτοῦ· ἀγνοῶ γὰρ ὅστις ἐστίν.

look out for this above all. A legitimate use of ἐκεῖνος. Cf. Lysias *contra Erat.* 79. Schmid, however, I, 238, classifies this with other cases in Lucian where ἐκεῖνος merges its meaning with οὗτος. — **ἀφύων**: from *ἀφύη sardine; ἀφυῶν* from *ἀφυής weak-minded;* perhaps tr. *weak-fish* and *ἀφυέστατοι very weak in the upper story.*

49. ὁ πλατύς: the *flat* or *plate* (fish) and ψῆττα, meaning the *plaice* or *platessa*, and *blockhead*, introduce the reference to Πλάτων. — **Ἀπὸ τῆς αὐτῆς πέτρας καὶ οὗτος**: sc. *ἀφείσθω* (see ἄφες § 48). So too end of §§ 50 and 51. Cf. for § 51, Schmid I, 423.

50. ποικίλον τὴν χρόαν: perhaps alluding to Aristotle's versatility, as in Swinburne's *Sappho* "a mind of many colors" (*ποικιλόφρων*). — **ταινίας . . . ἐπιχρύσους**: *with golden bands.* Our *ribbon-fish* (*Taeniosomi*) is so named from the shape. The fresh-water *sun-fish* would come nearer this description. Aristotle's wealth is alluded to also in *Vit. Auct.* 26. — **περισκοπεῖ ἀκριβῶς**: *he is thinking it over carefully.* This suits the context, and Aristotle's

ΠΑΡΡ. Οὐκοῦν καὶ οὗτος, ὦ Ἀριστότελες, κατὰ τῶν πε-
51 τρῶν. ἀλλ' ἣν ἰδού, πολλούς που τοὺς ἰχθῦς ὁρῶ κατὰ
ταὐτὸν ὁμόχροας, ἀκανθώδεις καὶ τὴν ἐπιφάνειαν ἐκτετραχυσμένους, ἐχίνων δυσληπτοτέρους. ἦ που σαγήνης ἐπ' αὐτοὺς δεήσει; ἀλλ' οὐ πάρεστιν. ἱκανὸν εἰ κἂν ἕνα τινὰ ἐκ τῆς ἀγέλης ἀνασπάσαιμεν. ἥξει δὲ ἐπὶ τὸ ἄγκιστρον δηλαδὴ ὃς ἂν αὐτῶν θρασύτατος ᾖ.

ΕΛΕΓ. Κάθες, εἰ δοκεῖ, σιδηρώσας γε πρότερον ἐπὶ πολὺ τῆς ὁρμιᾶς, μὴ ἀποπρίσῃ τοῖς ὀδοῦσι καταπιὼν τὸ χρυσίον.

ΠΑΡΡ. Καθῆκα. σὺ δέ, ὦ Πόσειδον, ταχεῖαν ἐπιτέλει τὴν ἄγραν. βαβαῖ, μάχονται περὶ τοῦ δελέατος, καὶ συνάμα πολλοὶ περιτρώγουσι τὴν ἰσχάδα, οἳ δὲ προσφύντες ἔχονται τοῦ χρυσίου. εὖ ἔχει· περιεπάρη τις μάλα καρτερός. φέρ' ἴδω τίνος ἐπώνυμον σεαυτὸν εἶναι λέγεις; καίτοι γελοῖός γέ εἰμι ἀναγκάζων ἰχθὺν λαλεῖν· ἄφωνοι γὰρ οὗτοί γε. ἀλλὰ σύ, ὦ Ἔλεγχε, εἰπὲ ὅντινα ἔχει διδάσκαλον.

ΕΛΕΓ. Χρύσιππον τουτονί.

mental processes, better than the Ms. περισκόπει.

51. τὴν ἐπιφάνειαν ἐκτετραχυσμένους: *rigorism* was a chief characteristic of Stoicism. The insinuation that it was superficial was not made concerning Chrysippus himself even in *Vit. Auct.*, but in attacking contemporary Stoics (see *Symp.*, *Hermot.*, etc.) Lucian has much to say of the discord between their real character and the outward man. Add this compound, in the meaning *roughen*, to Chabert's lists (op. cit. pp. 125 and 139) of new compounds (or of new meanings) in Lucian. — **ἐχίνων**: here *sea-urchins*. — **σιδηρώσας . . . ὁρμιᾶς**: *first sheathing with iron a good piece of the line.* In Homer's times a sheath of horn had been sufficient. Cf. *Il.* 24, 81:

ἣ τε (i.e. the sinker) κατ' ἀγραύλοιο βοὸς κέρας ἐμβεβαυῖα
ἔρχεται ὠμηστῇσιν ἐπ' ἰχθύσι κῆρα φέρουσα.

For ἐπὶ πολύ with gen. cf. ἐπὶ μέγα in the description of the iron-plated jib of the crane, Thuc. 4, 100, ἐσεσιδήρωτο ἐπὶ μέγα καὶ τοῦ ἄλλου ξύλου. — **μὴ ἀποπρίσῃ**: in Praed's *Red Fisherman* the abbot "gnaws in twain" the "choicest line" and makes off with the bait — a bishop's mitre — but the fisher exclaims:

Let him swim to the north, let him swim to the south,
The abbot will carry my hook in his mouth.

— **ἄφωνοι**: see App. For proverb cf. note on *Vit. Auct.* 3. — **Χρύσιππον**:

ΠΑΡΡ. Μανθάνω· διότι χρυσίον, οἶμαι, προσῆν τῷ ὀνόματι. σὺ δ' οὖν, Χρύσιππε, πρὸς τῆς Ἀθηνᾶς εἰπέ, οἶσθα τοὺς ἄνδρας ἢ τοιαῦτα παρῄνεις αὐτοῖς ποιεῖν;

ΧΡΥΣ. Νὴ Δί', ὑβριστικὰ ἐρωτᾷς, ὦ Παρρησιάδη, προσήκειν τι ἡμῖν ὑπολαμβάνων τοιούτους ὄντας.

ΠΑΡΡ. Εὖ γε, ὦ Χρύσιππε, γενναῖος εἶ. οὗτος γοῦν καὶ αὐτὸς ἐπὶ κεφαλὴν μετὰ τῶν ἄλλων, ἐπεὶ καὶ ἀκανθώδης ἐστί, καὶ δέος, μὴ διαπαρῇ τις τὸν λαιμὸν ἐσθίων.

52 ΦΙΛ. Ἅλις, ὦ Παρρησιάδη, τῆς ἄγρας, μὴ καί τίς σοι, οἷοι πολλοί εἰσιν, οἴχηται ἀποσπάσας τὸ χρυσίον καὶ τὸ ἄγκιστρον, εἶτά σε ἀποτῖσαι τῇ ἱερείᾳ δεήσῃ. ὥστε ἡμεῖς μὲν ἀπίωμεν περιπατήσουσαι· καιρὸς δὲ καὶ ὑμᾶς ἀπιέναι ὅθεν ἥκετε, μὴ καὶ ὑπερήμεροι γένησθε τῆς προθεσμίας. σὺ δὲ καὶ ὁ Ἔλεγχος, ὦ Παρρησιάδη, κύκλῳ ἐπὶ πάντας αὐτοὺς ἰόντες ἢ στεφανοῦτε ἢ ἐγκάετε, ὡς ἔφην.

ΠΑΡΡ. Ἔσται ταῦτα, ὦ Φιλοσοφία. χαίρετε, ὦ βέλτιστοι ἀνδρῶν. ἡμεῖς δὲ κατίωμεν, ὦ Ἔλεγχε, καὶ τελῶμεν τὰ παρηγγελμένα. ποῖ δὲ καὶ πρῶτον ἀπιέναι δεήσει; μῶν ἐς τὴν Ἀκαδημίαν ἢ ἐς τὴν Στοάν; ἢ ἀπὸ τοῦ Λυκείου ποιησώμεθα τὴν ἀρχήν; οὐδὲν διοίσει τοῦτο. πλὴν οἶδ' ἐγὼ ὡς ὅποι ποτ' ἂν ἀπέλθωμεν, ὀλίγων μὲν τῶν στεφάνων, πολλῶν δὲ τῶν καυτηρίων δεησόμεθα.

see *Vit. Auct.* 21 ff. — **γενναῖος εἶ**: *you are a gentleman.* Cf. note on § 24 supra; and in Ar. *Thesm.* 220 Euripides asks Agathon to lend him a razor and is told to help himself from the razor-case. This he proceeds to do, remarking:

Γενναῖος εἶ.
Κάθιζε· φύσα τὴν γνάθον τὴν δεξιάν.

L. & S. s.v., 3, misinterpret this expression in the *Thesm.* as "a civil refusal." — **μὴ διαπαρῇ τις τὸν λαιμόν**: *lest some one get his throat punctured.*

52. **ὑπερήμεροι . . . τῆς προθεσμίας**: like Charon (*Char.* 1) the philosophers were on a furlough limited (§ 14) to one day. — **οὐδὲν διοίσει**: cf. *Hermot.* 85 where Lucian expressly disclaims any partiality: "first come, first served." — **καυτηρίων**: vide supra on § 46.

DIALOGI DEORUM

INTRODUCTION

These short pieces, like the *Dialogi Marini*, are dramatic pictures.[1] It is, indeed, a temptation to think of them only as miniatures in which Lucian gives precedence to his artist's love of style and form. Certainly, as has been said,[2] "one is puzzled to find irony or satire in many of them. Not a few resist analysis. Complete and rounded they are, but complete and rounded as is the soap-bubble — which mirrors for a moment sky and sea and earth, then vanishes in an iridescent collapse."

But the satire, even if not too obvious, is generally there, and is all the more effective because the gods with their own mouths convict themselves of folly and passion. They plead guilty by explaining. To the Greeks men had been near gods (ἀγχίθεοι) from the first; and Zeus and Hera, from Homer on, are subject to anthropomorphic fits of anger and other frailties. These topics were as legitimate as the weather; and, as for that, the weather-bureau figured largely as a business office for the "Boudoir of Zeus."[3] Thus the satire of Aristophanes, irreverent as it is, has apparently no intent to overthrow the Olympian dynasty. If Zeus rains, snows, or metamorphoses himself into a bull, it is matter of public interest, but none of his eccentricities need shake the orthodox belief. With Lucian, on the other hand, under the mock reverence there is the most iconoclastic intent. Zeus and the other gods come before us in all their chryselephantine pomp, but they lay open their breasts

[1] Cf. Schmid on Hirzel, *Der Dialog*, in *Bursian's Jahresber.* 1901, p. 247: "Die Hetären-, See- und Göttergesprache sind atticistisch zubereitete μῖμοι."

[2] Gildersleeve, *Essays and Studies*, p. 340, with the whole context.

[3] Ar. *Ran.* 100.

to us with confiding frankness and show their unlovely and wooden interior.[1] Such testimony admitted no rebuttal. The case goes against them by default — ἐρήμη, ἀπολογουμένου οὐδενός.

These dialogues as pictures suggest that some work of art, whether painting or sculpture, served Lucian by way of a model. The most persuasive parallels have been drawn[2] between certain extant monuments of art and many of the scenes depicted both in the *Dialogi Deorum* and in the *Dialogi Marini*. Could we have access to all that was then known, this indebtedness would doubtless be still more apparent. Lucian was not straining after novelty — neither new pigments nor new models — and such reminiscence, when it suited his purpose, was a matter of course.

The form itself of the dialogues, with their brevity and penetrating wit, is not of a piece with the frank comedy of Aristophanes, on which Lucian elsewhere draws so freely. It is rather akin to the "ironical and treacherous grace" which is attributed[3] to Menippus,[4] from whose well-worn Cynic's cloak, through windows gaping here and there (πολύθυρον τριβώνιον[5]), Lucian's mocking eyes look forth.

[1] Cf. *Jupp. Trag.* 8, and *Gall.* 24.

[2] See Blümner, *Studien zu Lucian*, pp. 69–76; also see note to *D. Deor.* 13, 2, and Introd. to *D. Mar.*, p. 169.

[3] Cf. Croiset, p. 62: "La grâce ironique et perfide dont Ménippe parait avoir eu le don."

[4] See Introd. to *D. Mort.*, p. 189, note 2.

[5] *D. Mort.* 1, 2.

ΘΕΩΝ ΔΙΑΛΟΓΟΙ

7

ΗΦΑΙΣΤΟΥ ΚΑΙ ΑΠΟΛΛΩΝΟΣ

1 ΗΦ. Ἑώρακας, ὦ Ἄπολλον, τὸ τῆς Μαίας βρέφος τὸ ἄρτι τεχθέν, ὡς καλόν τέ ἐστι καὶ προσμειδιᾷ πᾶσι καὶ δηλοῖ ἤδη μέγα τι ἀγαθὸν ἀποβησόμενον;

ΑΠ. Ἐκεῖνο τὸ βρέφος, ὦ Ἥφαιστε, ἢ μέγα ἀγαθόν, ὃ τοῦ Ἰαπετοῦ πρεσβύτερόν ἐστιν ὅσον ἐπὶ τῇ πανουργίᾳ;

ΗΦ. Καὶ τί ἂν ἀδικῆσαι δύναιτο ἀρτίτοκον ὄν;

ΑΠ. Ἐρώτα τὸν Ποσειδῶνα, οὗ τὴν τρίαιναν ἔκλεψεν, ἢ τὸν Ἄρη· καὶ τούτου γὰρ ἐξείλκυσε λαθὼν ἐκ τοῦ κολεοῦ τὸ ξίφος, ἵνα μὴ ἐμαυτὸν λέγω, ὃν ἀφώπλισε τοῦ τόξου καὶ τῶν βελῶν.

2 ΗΦ. Τὸ νεογνὸν ταῦτα, ὃ μόλις ἕστηκε, τὸ ἐν τοῖς σπαργάνοις;

ΑΠ. Εἴσῃ, ὦ Ἥφαιστε, ἤν σοι προσέλθῃ μόνον.

7

ΗΦΑΙΣΤΟΥ *κτλ.*: sc. *διάλογος*, and so with the following titles.

1. τὸ . . . βρέφος: read *h. Hom.* 3 (also Shelley's translation 3; 8), with Hor. *Carm.* 1, 10, for epithets of Hermes as *λόγιος, ἀγώνιος, διάκτορος, μουσικός, κλέπτης, ἐριούνιος, ψυχοπομπός.* — **μέγα . . . ἀποβησόμενον**: *going to turn out to be some great blessing.* — **Ἰαπετοῦ**: father of Prometheus and hence remote ancestor of the human race. — **ἀρτίτοκον**: in *h. Hom.* 3, 406 the word used is *νεογνός*. Cf. infra § 2. See Shelley, *Hymn to Mercury*, 3:

> The babe was born at the first peep of day;
> He began playing on the lyre at noon,
> And the same evening did he steal away
> Apollo's herds.

2. ἐν τοῖς σπαργάνοις: cf. *h. Hom.* 3, 237 where Hermes, after his cow-stealing excursion, *σπάργαν᾽ ἔσω κατέδυνε*

ΗΦ. Καὶ μὴν προσῆλθεν ἤδη.

ΑΠ. Τί οὖν; πάντα ἔχεις τὰ ἐργαλεῖα καὶ οὐδὲν ἀπόλωλεν αὐτῶν;

ΗΦ. Πάντα, ὦ Ἄπολλον.

ΑΠ. Ὅμως ἐπίσκεψαι ἀκριβῶς.

ΗΦ. Μὰ Δία, τὴν πυράγραν οὐχ ὁρῶ.

ΑΠ. Ἀλλ᾽ ὄψει που ἐν τοῖς σπαργάνοις αὐτὴν τοῦ βρέφους.

ΗΦ. Οὕτως ὀξύχειρ ἐστὶ καθάπερ ἐν τῇ γαστρὶ ἐκμελετήσας τὴν κλεπτικήν;

3 ΑΠ. Οὐ γὰρ ἤκουσας αὐτοῦ καὶ λαλοῦντος ἤδη στωμύλα καὶ ἐπίτροχα· ὁ δὲ καὶ διακονεῖσθαι ἡμῖν ἐθέλει. χθὲς δὲ προκαλεσάμενος τὸν Ἔρωτα κατεπάλαισεν εὐθὺς οὐκ οἶδ᾽ ὅπως ὑφελὼν τὼ πόδε· εἶτα μεταξὺ ἐπαινούμενος τῆς Ἀφροδίτης μὲν τὸν κεστὸν ἔκλεψε προσπτυξαμένης αὐτὸν ἐπὶ τῇ νίκῃ, τοῦ Διὸς δὲ γελῶντος ἔτι τὸ σκῆπτρον· εἰ δὲ μὴ βαρύτερος ὁ κεραυνὸς ἦν καὶ πολὺ τὸ πῦρ εἶχε, κἀκεῖνον ἂν ὑφείλετο.

ΗΦ. Γοργόν τινα τὸν παῖδα φῄς.

ΑΠ. Οὐ μόνον, ἀλλ᾽ ἤδη καὶ μουσικόν.

ΗΦ. Τῷ τοῦτο τεκμαίρεσθαι ἔχεις;

4 ΑΠ. Χελώνην που νεκρὰν εὑρὼν ὄργανον ἀπ᾽ αὐτῆς συνεπήξατο· πήχεις γὰρ ἐναρμόσας καὶ ζυγώσας, ἔπειτα κολλάβους ἐμπήξας καὶ μαγάδα ὑποθεὶς καὶ ἐντεινάμενος ἑπτὰ

θυήεντα. — **τὴν πυράγραν**: for sing. number cf. Germ. *die Zange;* also *die Scheere* (scissors). — **ὀξύχειρ**: "And great is Hermes' self, *light-fingered* god," R. H. Stoddard. — **ἐκμελετήσας**: note gender; so in § 1 some Mss. have *λαθών* for *λαθόν*.

4. **ὄργανον**: in *D. Mar.* 1, 4, Doris in ridiculing Galatea's troubadour describes the parts of his crude instrument also. See Dict. Antiq. s.v. "Lyra," and cf. for the Stealer and the tortoise Kipling's *Song of the Banjo:*

The grandam of my grandam was the lyre
 [O the blue below the little fisher huts!]
That the Stealer stooping beachward filled with fire,
 Till she bore my iron head and ringing guts!

χορδὰς ἐμελῴδει πάνυ γλαφυρόν, ὦ Ἥφαιστε, καὶ ἐναρμόνιον, ὡς κἀμὲ αὐτῷ φθονεῖν πάλαι κιθαρίζειν ἀσκοῦντα. ἔλεγε δὲ ἡ Μαῖα ὡς μηδὲ μένοι τὰς νύκτας ἐν τῷ οὐρανῷ, ἀλλ' ὑπὸ περιεργίας ἄχρι τοῦ Ἅιδου κατίοι, κλέψων τι κἀκεῖθεν δηλαδή. ὑπόπτερος δ' ἐστὶ καὶ ῥάβδον τινὰ πεποίηται θαυμασίαν τὴν δύναμιν, ᾗ ψυχαγωγεῖ καὶ κατάγει τοὺς νεκρούς.

ΗΦ. Ἐγὼ ἐκείνην ἔδωκα αὐτῷ παίγνιον εἶναι.

ΑΠ. Τοιγαροῦν ἀπέδωκέ σοι τὸν μισθόν, τὴν πυράγραν—

ΗΦ. Εὖ γε ὑπέμνησας· ὥστε βαδιοῦμαι ἀποληψόμενος αὐτήν, εἴ που ὡς φῂς εὑρεθείη ἐν τοῖς σπαργάνοις.

13

ΔΙΟΣ, ΑΣΚΛΗΠΙΟΥ, ΚΑΙ ΗΡΑΚΛΕΟΥΣ

1 ΖΕΥΣ. Παύσασθε, ὦ Ἀσκληπιὲ καὶ Ἡράκλεις, ἐρίζοντες πρὸς ἀλλήλους ὥσπερ ἄνθρωποι· ἀπρεπῆ γὰρ ταῦτα καὶ ἀλλότρια τοῦ συμποσίου τῶν θεῶν.

ΗΡΑ. Ἀλλὰ ἐθέλεις, ὦ Ζεῦ, τουτονὶ τὸν φαρμακέα προκατακλίνεσθαί μου;

ΑΣΚ. Νὴ Δία· καὶ ἀμείνων γάρ εἰμι.

and, again, for Celt and Greek connected by language and the lyre:

So I draw the world together link by link:
Yea, from Delos up to Limerick and back!

— **κἀμέ**: cf. Shelley, op. cit., 72, where Apollo

Listened with all his soul, and laughed for pleasure.
Close to his side stood harping fearlessly
The unabashèd boy.

— **μηδέ**: for *οὐδέ*. See Introd. 39 (*b*). — **ὡς . . . οὐρανῷ**: *that he won't stay in heaven o' nights.* Cf. Shelley, 3:

Nor long could in the sacred cradle keep.

— **κατάγει**: cf. *Char.* 22, line 480.

13

1. **φαρμακέα**: *druggist.* Incidentally, the classic meaning *poisoner* is viciously suggested, as comes out below in *ῥιζοτόμος* (veneficus). — **προκατακλίνεσθαι**: for the places of honor see *Symp.* 8 and cf. Plutarch *Quaest.*

ΗΡΑ. Κατὰ τί, ὦ ἐμβρόντητε; ἢ διότι σε ὁ Ζεὺς ἐκεραύνωσεν ἃ μὴ θέμις ποιοῦντα, νῦν δὲ κατ' ἔλεον αὖθις ἀθανασίας μετείληφας;

ΑΣΚ. Ἐπιλέλησαι γὰρ καὶ σύ, ὦ Ἡράκλεις, ἐν τῇ Οἴτῃ καταφλεγείς, ὅτι μοι ὀνειδίζεις τὸ πῦρ;

ΗΡΑ. Οὔκουν ἴσα καὶ ὅμοια βεβίωται ἡμῖν, ὃς Διὸς μὲν υἱός εἰμι, τοσαῦτα δὲ πεπόνηκα ἐκκαθαίρων τὸν βίον, θηρία καταγωνιζόμενος καὶ ἀνθρώπους ὑβριστὰς τιμωρούμενος· σὺ δὲ ῥιζοτόμος εἶ καὶ ἀγύρτης, νοσοῦσι μὲν ἴσως ἀνθρώποις χρήσιμος ἐπιθέσει τῶν φαρμάκων, ἀνδρῶδες δὲ οὐδὲν ἐπιδεδειγμένος.

2 ΑΣΚ. Εὖ λέγεις, ὅτι σου τὰ ἐγκαύματα ἰασάμην, ὅτε πρῴην ἀνῆλθες ἡμίφλεκτος ὑπ' ἀμφοῖν διεφθαρμένος τὸ σῶμα, καὶ τοῦ χιτῶνος καὶ μετὰ τοῦτο τοῦ πυρός· ἐγὼ δὲ εἰ καὶ μηδὲν ἄλλο, οὔτε ἐδούλευσα ὥσπερ σὺ οὔτε ἔξαινον ἔρια ἐν Λυδίᾳ πορφυρίδα ἐνδεδυκὼς καὶ παιόμενος ὑπὸ τῆς Ὀμφάλης χρυσῷ σανδάλῳ, ἀλλὰ οὐδὲ μελαγχολήσας ἀπέκτεινα τὰ τέκνα καὶ τὴν γυναῖκα.

ΗΡΑ. Εἰ μὴ παύσῃ λοιδορούμενός μοι, αὐτίκα μάλα εἴσῃ ὡς οὐ πολύ σε ὀνήσει ἡ ἀθανασία, ἐπεὶ ἀράμενός σε ῥίψω ἐπὶ κεφαλὴν ἐκ τοῦ οὐρανοῦ, ὥστε μηδὲ τὸν Παιῶνα ἰάσεσθαί σε τὸ κρανίον συντριβέντα.

ΖΕΥΣ. Παύσασθε, φημί, καὶ μὴ ἐπιταράττετε ἡμῖν τὴν ξυνουσίαν, ἢ ἀμφοτέρους ἀποπέμψομαι ὑμᾶς τοῦ ξυμποσίου.

Sympos. 2, 4; and 3. — **μὴ θέμις**: Asklepios was killed by Zeus's bolt because his healing art held back too many from Pluto's realm. For the worship of Asklepios see note on *Pisc.* 42. — **ἐκκαθαίρων** κτλ.: Heracles refers with just pride to his strenuous career. — **ἐπιθέσει**: we might have expected πρὸς (or εἰς) ἐπίθεσιν, see App.

2. **χιτῶνος**: i.e. the one steeped in the blood of Nessus. — **Ὀμφάλης . . . σανδάλῳ**: from the detailed repetition in *Hist. Conscr.* 10 it is to be inferred that Lucian has some actual work of art in mind, just as Eros chastised by Aphrodite (*D. Deor.* 11, 1) was probably suggested by one or another statuette (cf. Blümner, op. cit., p. 71) representing a woman with her raised right hand holding the threatening sandal.

καίτοι εὔγνωμον, ὦ Ἡράκλεις, προκατακλίνεσθαί σου τὸν Ἀσκληπιὸν ἅτε καὶ πρότερον ἀποθανόντα.

19

ΑΦΡΟΔΙΤΗΣ ΚΑΙ ΕΡΩΤΟΣ

1 ΑΦΡ. Τί δήποτε, ὦ Ἔρως, τοὺς μὲν ἄλλους θεοὺς κατηγωνίσω ἅπαντας, τὸν Δία, τὸν Ποσειδῶ, τὸν Ἀπόλλω, τὴν Ῥέαν, ἐμὲ τὴν μητέρα, μόνης δὲ ἀπέχῃ τῆς Ἀθηνᾶς καὶ ἐπ' ἐκείνης ἄπυρος μέν σοι ἡ δᾴς, κενὴ δὲ οἰστῶν ἡ φαρέτρα, σὺ δὲ ἄτοξος εἶ καὶ ἄστοχος;

ΕΡ. Δέδια, ὦ μῆτερ, αὐτήν· φοβερὰ γάρ ἐστι καὶ χαροπὴ καὶ δεινῶς ἀνδρική· ὁπόταν γοῦν ἐντεινάμενος τὸ τόξον ἴω ἐπ' αὐτήν, ἐπισείουσα τὸν λόφον ἐκπλήττει με καὶ ὑπότρομος γίνομαι καὶ ἀπορρεῖ μου τὰ τοξεύματα ἐκ τῶν χειρῶν.

ΑΦΡ. Ὁ Ἄρης γὰρ οὐ φοβερώτερος ἦν; καὶ ὅμως ἀφώπλισας αὐτὸν καὶ νενίκηκας.

ΕΡ. Ἀλλὰ ἐκεῖνος ἑκὼν προσίεταί με καὶ προσκαλεῖται, ἡ Ἀθηνᾶ δὲ ὑφορᾶται ἀεί, καί ποτε ἐγὼ μὲν ἄλλως παρέπτην πλησίον ἔχων τὴν λαμπάδα, ἡ δέ, εἴ μοι πρόσει, φησί, νὴ τὸν πατέρα, τῷ δορατίῳ σε διαπείρασα ἢ τοῦ ποδὸς λαβομένη καὶ ἐς τὸν Τάρταρον ἐμβαλοῦσα ἢ αὐτὴ διασπασαμένη διαφθερῶ. πολλὰ τοιαῦτα ἠπείλησε· καὶ ὁρᾷ δὲ δριμὺ καὶ ἐπὶ τοῦ στήθους ἔχει πρόσωπόν τι φοβερὸν ἐχίδναις κατάκομον, ὅπερ ἐγὼ μάλιστα δέδια· μορμολύττεταί γάρ με καὶ φεύγω ὅταν ἴδω αὐτό.

— **πρότερον ἀποθανόντα**: "First come, first served," is Zeus's solution.

19

1. **σὺ δὲ . . . ἄστοχος**: like the plight of Sennacherib's men:
The lances unlifted, the trumpet unblown.

— **ἀνδρική**: *mannish.* — **ὑπότρομος**: *all of a tremble.* — **γίνομαι**: see Introd. 40. — **ἄλλως**: *incidentally.* — **ἐπὶ τοῦ στήθους**: for the Gorgon head on statues of Athena see Paus. 1, 24, 7 and Harrison and Verrall, op. cit., pp. 445 ff.

2 ΑΦΡ. Ἀλλὰ τὴν μὲν Ἀθηνᾶν δέδιας, ὡς φῄς, καὶ τὴν Γοργόνα, καὶ ταῦτα μὴ φοβηθεὶς τὸν κεραυνὸν τοῦ Διός. αἱ δὲ Μοῦσαι διὰ τί σοι ἄτρωτοι καὶ ἔξω βελῶν εἰσιν; ἢ κἀκεῖναι λόφους ἐπισείουσι καὶ Γοργόνας προφαίνουσιν;

ΕΡ. Αἰδοῦμαι αὐτάς, ὦ μῆτερ· σεμναὶ γάρ εἰσι καὶ ἀεί τι φροντίζουσι καὶ περὶ ᾠδὴν ἔχουσι καὶ ἐγὼ παρίσταμαι πολλάκις αὐταῖς κηλούμενος ὑπὸ τοῦ μέλους.

ΑΦΡ. Ἔα καὶ ταύτας, ὅτι σεμναί· τὴν δὲ Ἄρτεμιν τίνος ἕνεκα οὐ τιτρώσκεις;

ΕΡ. Τὸ μὲν ὅλον οὐδὲ καταλαβεῖν αὐτὴν οἷόν τε φεύγουσαν ἀεὶ διὰ τῶν ὀρῶν· εἶτα καὶ ἴδιόν τινα ἔρωτα ἤδη ἐρᾷ.

ΑΦΡ. Τίνος, ὦ τέκνον;

ΕΡ. Θήρας καὶ ἐλάφων καὶ νεβρῶν, αἱρεῖν τε διώκουσα καὶ κατατοξεύειν, καὶ ὅλως πρὸς τῷ τοιούτῳ ἐστίν· ἐπεὶ τόν γε ἀδελφὸν αὐτῆς, καίτοι τοξότην καὶ αὐτὸν ὄντα καὶ ἑκηβόλον—

ΑΦΡ. Οἶδα, ὦ τέκνον, πολλὰ ἐκεῖνον ἐτόξευσας.

25

ΔΙΟΣ ΚΑΙ ΗΛΙΟΥ

1 ΖΕΥΣ. Οἷα πεποίηκας, ὦ Τιτάνων κάκιστε· ἀπολώλεκας τὰ ἐν τῇ γῇ ἅπαντα, μειρακίῳ ἀνοήτῳ πιστεύσας τὸ ἅρμα, ὃς τὰ μὲν κατέφλεξε πρόσγειος ἐνεχθείς, τὰ δὲ ὑπὸ κρύους διαφθαρῆναι ἐποίησε πολὺ αὐτῶν ἀποσπάσας τὸ πῦρ, καὶ ὅλως οὐδὲν ὅ τι οὐ ξυνετάραξε καὶ ξυνέχεε, καὶ εἰ μὴ ἐγὼ ξυνεὶς τὸ γιγνόμενον κατέβαλον αὐτὸν τῷ κεραυνῷ, οὐδὲ λείψανον

— **μορμολύττεται**: for Mormo see Theocr. 15, 40 and Gulick, pp. 75 ff.

2. **καίτοι**: for *καίπερ*. See Introd. 27.

25

1. **μειρακίῳ**: i.e. Phaethon. This reads like a synopsis of Ovid *Met.* 2, 1 ff. — **τὰ μὲν κατέφλεξε . . . κρύους**: cf.

ἀνθρώπων ἔτι ἔμεινεν ἄν· τοιοῦτον ἡμῖν ἡνίοχον τὸν καλὸν ἐκεῖνον καὶ διφρηλάτην ἐκπέπομφας.

ΗΛ. Ἥμαρτον, ὦ Ζεῦ, ἀλλὰ μὴ χαλέπαινε, εἰ ἐπείσθην υἱῷ πολλὰ ἱκετεύοντι· πόθεν γὰρ ἂν καὶ ἤλπισα τηλικοῦτο γενήσεσθαι κακόν;

ΖΕΥΣ. Οὐκ ᾔδεις ὅσης ἐδεῖτο ἀκριβείας τὸ πρᾶγμα καὶ ὡς, εἰ βραχύ τις ἐκβαίη τῆς ὁδοῦ, οἴχεται πάντα; ἠγνόεις δὲ καὶ τῶν ἵππων τὸν θυμόν, ὡς ἀεὶ ξυνέχειν ἀνάγκη τὸν χαλινόν; εἰ γὰρ ἐνδοίη τις, ἀφηνιάζουσιν εὐθύς, ὥσπερ ἀμέλει καὶ τοῦτον ἐξήνεγκαν, ἄρτι μὲν ἐπὶ τὰ λαιά, μετ' ὀλίγον δὲ ἐπὶ τὰ δεξιά, καὶ ἐς τὸ ἐναντίον τοῦ δρόμου ἐνίοτε, καὶ ἄνω καὶ κάτω, ὅλως ἔνθα ἐβούλοντο αὐτοί· ὁ δὲ οὐκ εἶχεν ὅ τι χρήσαιτο αὐτοῖς.

2 ΗΛ. Πάντα μὲν ἠπιστάμην ταῦτα καὶ διὰ τοῦτο ἀντεῖχον ἐπὶ πολὺ καὶ οὐκ ἐπίστευον αὐτῷ τὴν ἔλασιν· ἐπεὶ δὲ κατελιπάρησε δακρύων καὶ ἡ μήτηρ Κλυμένη μετ' αὐτοῦ, ἀναβιβασάμενος ἐπὶ τὸ ἅρμα ὑπεθέμην ὅπως μὲν χρὴ βεβηκέναι αὐτόν, ἐφ' ὁπόσον δὲ ἐς τὸ ἄνω ἀφέντα ὑπερενεχθῆναι, εἶτα ἐς τὸ κάταντες αὖθις ἐπινεύειν καὶ ὡς ἐγκρατῆ εἶναι τῶν ἡνιῶν καὶ μὴ ἐφιέναι τῷ θυμῷ τῶν ἵππων· εἶπον δὲ καὶ ἡλίκος ὁ κίνδυνος, εἰ μὴ ὀρθὴν ἐλαύνοι· ὁ δὲ — παῖς γὰρ ἦν — ἐπιβὰς τοσούτου πυρὸς καὶ ἐπικύψας ἐς βάθος ἀχανὲς ἐξεπλάγη, ὡς τὸ εἰκός· οἱ δὲ ἵπποι ὡς ᾔσθοντο οὐκ ὄντα ἐμὲ τὸν ἐπιβεβηκότα, καταφρονήσαντες τοῦ μειρακίου ἐξετράποντο

Ovid *Met.* 2, 156–160. — **ᾔδεις**: see Introd. 14 (*b*). — **ἀεί**: see App. — **ἐνδοίη**: for opt. in primary sequence see Introd. 35 (*c*). — **ἀφηνιάζουσιν**: cf. *Bis Acc.* 1, where Zeus complains on behalf of the overworked gods: "Helios here," he says, "yokes his team, and, putting on his fire-halo with its flashing rays, scours the heaven the livelong day without so much as having time, as the saying goes, to scratch his ear. For if ever he forgets himself for a minute and grows careless, his horses run away (ἀφηνιάσαντες), turn off the track, and burn up everything."

2. **ὑπεθέμην**: cf. the explicit directions in Ovid l.c. — **βεβηκέναι**: *keep his footing.* — **οἱ δὲ ἵπποι . . . οὐκ ὄντα ἐμέ**:

τῆς ὁδοῦ καὶ τὰ δεινὰ ταῦτα ἐποίησαν· ὁ δὲ τὰς ἡνίας ἀφείς, οἶμαι δεδιὼς μὴ ἐκπέσῃ αὐτός, εἴχετο τῆς ἄντυγος. ἀλλὰ ἐκεῖνός τε ἤδη ἔχει τὴν δίκην κἀμοί, ὦ Ζεῦ, ἱκανὸν τὸ πένθος.

3 ΖΕΥΣ. *Ἱκανὸν λέγεις τοιαῦτα τολμήσας; νῦν μὲν οὖν συγγνώμην ἀπονέμω σοι, ἐς δὲ τὸ λοιπόν, ἤν τι ὅμοιον παρανομήσῃς ἤ τινα τοιοῦτον σεαυτοῦ διάδοχον ἐκπέμψῃς, αὐτίκα εἴσῃ ὁπόσον τοῦ σοῦ πυρὸς ὁ κεραυνὸς πυρωδέστερος. ὥστε ἐκεῖνον μὲν αἱ ἀδελφαὶ θαπτέτωσαν ἐπὶ τῷ Ἠριδανῷ, ἵναπερ ἔπεσεν ἐκδιφρευθείς, ἤλεκτρον ἐπ᾽ αὐτῷ δακρύουσαι καὶ αἴγειροι γενέσθωσαν ἐπὶ τῷ πάθει, σὺ δὲ ξυμπηξάμενος τὸ ἅρμα —κατέαγε δὲ καὶ ὁ ῥυμὸς αὐτοῦ καὶ ἅτερος τῶν τροχῶν συντέτριπται—ἔλαυνε ὑπαγαγὼν τοὺς ἵππους. ἀλλὰ μέμνησο τούτων ἁπάντων.*

cf. Ovid *Met.* 2, 161:

Sed leve pondus erat, nec quod cognoscere possent
Solis equi, solitaque jugum gravitate carebat.
. . . .
Quod simulac sensere (cf. *ὡς ᾔσθοντο*).
— **ἄντυγος**: generally translated *rim* or *edge* and referred to the rail which in the vase-paintings is seen running along the top of an Attic chariot. Reichel (*Homerische Waffen*[2], pp. 142 ff.) contends that for the Homeric chariot, at least, it can mean only the *dash-board* or *curved front*.

3. αἱ ἀδελφαί: the Heliades, mourning for their brother, are changed into poplars and their tears ever distil as amber. See Ovid, *Met.* 2, 340–366, and compare with Virgil, *Aen.* 3, 37, Dante, *Inf.* 13. — **θαπτέτωσαν**: see Introd. 17.

DIALOGI MARINI

INTRODUCTION

There are fifteen *Dialogues of the Sea*, and they contain some of Lucian's finest touches. In these aquarelles satirist and artist blend. And the reader is as docile as in the *True History*. Our vision is refracted by the shining water, and everything is credible beneath its magic depths. Whatever material Lucian borrowed from Ovid, or a common original, he had no need for the more cumbersome processes of the *Metamorphoses*.

A delicate satire permeates the artistic charm, and these *Marine Dialogues* are *un exemple perpétuel de cette dérision presque imperceptible.*[1] While the satire in the *Dialogues of the Dead* is more obvious, stronger — partly by reason of the more weighty subject-matter — here, ever and anon, Fancy astride a dolphin rises from the clear water that holds the unnoticed satire in solution. In satirizing canonical mythology and creeds Lucian reaches his end by no caricature. With an artist's restraint he simply changes the proportions and modifies the face.[2] The credulity, too, of contemporaries, such as the pious Pausanias,[3] gave Lucian opportunity for incidental mockery that may often be overlooked by a modern reader.

As with the *Dialogues of the Dead*, several of these also were pretty certainly suggested by works of art extant in Lucian's time. Possibly many of the others may have been suggested by paintings or sculpture now lost.[4]

[1] Cf. Croiset, 62 and 209. [2] Ibid., 211.

[3] See below, notes to *D. Mar.* 3, 1, and 12, 1.

[4] Cf. the following notes and see Blümner, *Studien zu Lucian*, pp. 76–82. Blümner's suggestion (l.c. p. 81), that these dialogues were really intended as a formal satire on the degeneracy of contemporary art, seems to ignore the more obvious motive.

The "iridescent bubble" does not burst in vain. It condenses in a water-drop of the "Ocean of the Streams of Story." Thus, in 2, we have Polyphemus's brute strength succumbing to intellectual cunning, and, inlaid upon it, the mimicry of Homer's ram; in 3, the cool, bubbling fountain; in 5, the banquet scene and the quarrelling goddesses; in 6, the girl and her water-jar; in 8, Arion playing to the sailors; in 14, the rescue of Andromeda; and in 15, the two pictures, Europa carried off in the midst of her maidens, and the wedding journey — such processions forming a favorite motive for painter, sculptor, and writer. And, finally, the picture in 12 is one likely to rest in the memory — the blue Aegean, the island rock, the fair and smiling child, the fairer mother, the brawny, gentle fishermen.

ΕΝΑΛΙΟΙ ΔΙΑΛΟΓΟΙ

2

ΚΥΚΛΩΠΟΣ ΚΑΙ ΠΟΣΕΙΔΩΝΟΣ

1 ΚΥΚ. Ὦ πάτερ, οἷα πέπονθα ὑπὸ τοῦ καταράτου ξένου, ὃς μεθύσας ἐξετύφλωσέ με κοιμωμένῳ ἐπιχειρήσας.

ΠΟΣ. Τίς δὲ ἦν ὁ ταῦτα τολμήσας, ὦ Πολύφημε;

ΚΥΚ. Τὸ μὲν πρῶτον Οὖτιν αὑτὸν ἀπεκάλει, ἐπεὶ δὲ διέφυγε καὶ ἔξω ἦν βέλους, Ὀδυσσεὺς ὀνομάζεσθαι ἔφη.

ΠΟΣ. Οἶδα ὃν λέγεις, τὸν Ἰθακήσιον· ἐξ Ἰλίου δ' ἀνέπλει. ἀλλὰ πῶς ταῦτα ἔπραξεν οὐδὲ πάνυ εὐθαρσὴς ὤν;

2 ΚΥΚ. Κατέλαβον ἐν τῷ ἄντρῳ ἀπὸ τῆς νομῆς ἀναστρέψας πολλούς τινας, ἐπιβουλεύοντας δῆλον ὅτι τοῖς ποιμνίοις· ἐπεὶ γὰρ ἐπέθηκα τῇ θύρᾳ τὸ πῶμα — πέτρα δέ ἐστι παμμεγέθης — καὶ τὸ πῦρ ἀνέκαυσα ἐναυσάμενος ὃ ἔφερον δένδρον ἀπὸ τοῦ ὄρους, ἐφάνησαν ἀποκρύπτειν αὑτοὺς πειρώμενοι· ἐγὼ δὲ συλλαβών τινας αὐτῶν, ὥσπερ εἰκὸς ἦν, κατέφαγον λῃστάς γε ὄντας. ἐνταῦθα ὁ πανουργότατος ἐκεῖνος, εἴτε

2

Title: cf. *Od.* 9, 216–542; Ar. *Vesp.* 170–190; Eur. *Cyclops.*

1. **κοιμωμένῳ**: sc. *ἐμοί* from *με.* — **Οὖτιν**: Homer's polyphonic puns — *οὖτις* and *οὔτις* *Od.* 9, 366, *μή τις* 405, *μῆτις* 414 — reappear only in part in Ar. *Vesp.* 185 ff. and Eur. *Cyclops* 672 ff. — **Ἰθακήσιον**: Aristophanes, *Vesp.* 185, prolongs the pun Ἴθακος (as if from ἴθι) Ἀποδρασιππίδου *M. Goville* son of *M. Ready-to-Ride-away.* — **οὐδὲ . . . εὐθαρσής**: Odysseus *πολύμητις* represents the Greek cunning, not the ideal knighthood of Achilles.

2. **πέτρα**: *a massive crag*, not a (*πέτρος*) mere *stone*, is made the "lid" (*πῶμα*) of the cave's mouth. For the contrast see Thayer's N.T. Lex. s.v. *πέτρα.* — **ὃ ἔφερον**: note the casual mention.

Οὖτις εἴτε Ὀδυσσεὺς ἦν, δίδωσί μοι πιεῖν φάρμακόν τι ἐγχέας, ἡδὺ μὲν καὶ εὔοσμον, ἐπιβουλότατον δὲ καὶ ταραχωδέστατον· ἅπαντα γὰρ εὐθὺς ἐδόκει μοι περιφέρεσθαι πιόντι καὶ τὸ σπήλαιον αὐτὸ ἀνεστρέφετο καὶ οὐκέτι ὅλως ἐν ἐμαυτοῦ ἦν, τέλος δὲ ἐς ὕπνον κατεσπάσθην. ὁ δὲ ἀποξύνας τὸν μοχλὸν καὶ πυρώσας γε προσέτι ἐτύφλωσέ με καθεύδοντα, καὶ ἀπ᾽ ἐκείνου τυφλός εἰμί σοι, ὦ Πόσειδον.

3 ΠΟΣ. Ὡς βαθὺν ὕπνον ἐκοιμήθης, ὦ τέκνον, ὃς οὐκ ἐξέθορες μεταξὺ τυφλούμενος. ὁ δ᾽ οὖν Ὀδυσσεὺς πῶς διέφυγεν; οὐ γὰρ ἂν εὖ οἶδ᾽ ὅτι ἠδυνήθη ἀποκινῆσαι τὴν πέτραν ἀπὸ τῆς θύρας.

ΚΥΚ. Ἀλλ᾽ ἐγὼ ἀφεῖλον, ὡς μᾶλλον αὐτὸν λάβοιμι ἐξιόντα, καὶ καθίσας παρὰ τὴν θύραν ἐθήρων τὰς χεῖρας ἐκπετάσας, μόνα παρεὶς τὰ πρόβατα ἐς τὴν νομήν, ἐντειλάμενος τῷ κριῷ ὁπόσα ἐχρῆν πράττειν αὐτὸν ὑπὲρ ἐμοῦ.

4 ΠΟΣ. Μανθάνω· ὑπ᾽ ἐκείνοις ἔλαθον ὑπεξελθόντες· σὲ δὲ τοὺς ἄλλους Κύκλωπας ἔδει ἐπιβοήσασθαι ἐπ᾽ αὐτόν.

ΚΥΚ. Συνεκάλεσα, ὦ πάτερ, καὶ ἧκον· ἐπεὶ δὲ ἤροντο τοῦ ἐπιβουλεύοντος τοὔνομα κἀγὼ ἔφην ὅτι Οὖτίς ἐστι,

"A tree that I had in my hand." — **ἐπιβουλότατον**: Polyphemus was served with *unmixed* wine. Cf. Eur. *Cyclops* 557:

ΣΕΙΛ. πῶς οὖν κέκραται; φέρε διασκεψώμεθα.
ΚΥΚΛ. ἀπολεῖς· δὸς οὕτως.

— **ἐν ἐμαυτοῦ**: for case cf. ἐν and εἰς Ἅιδου. For the meaning cf. the English idiom *beside myself*.

3. ὁ δ᾽ οὖν κτλ.: *but Odysseus, to return to him*, etc.; see L. & S. s.v. οὖν. — **εὖ οἶδ᾽ ὅτι**: cf. Introd. 29. — **ἐντειλάμενος τῷ κριῷ**: the address to the ram in the Odyssey (9, 447 ff.) is wellnigh comic in its Epic naïveté: κριὲ πέπον, τί μοι ὧδε κτλ. . . . ἦ σύ γ᾽ ἄνακτος ὀφθαλμὸν ποθέεις, κτλ. Aristophanes (*Vesp.* 179) does not miss this comic element in Bdelycleon's pathetic address to the family ass, led forth to the auction-block with the old man under its shaggy belly:

κάνθων, τί κλάεις; ὅτι πεπράσει τήμερον;
βάδιζε θᾶττον. τί στένεις, εἰ μὴ φέρεις
Ὀδυσσέα τιν᾽;

The charge to the ram is Lucian's own contribution to the story.

4. ἔφην ὅτι: the ὅτι is used like " ", but see note on *Peregr.* 23. —

μελαγχολᾶν οἰηθέντες με ᾤχοντο ἀπιόντες. οὕτω κατεσοφίσατό με ὁ κατάρατος τῷ ὀνόματι. καὶ ὃ μάλιστα ἠνίασέ με, ὅτι καὶ ὀνειδίζων ἐμοὶ τὴν συμφοράν, Οὐδὲ ὁ πατήρ, *φησίν,* ὁ Ποσειδῶν ἰάσεταί σε.

ΠΟΣ. *Θάρρει, ὦ τέκνον· ἀμυνοῦμαι γὰρ αὐτόν, ὡς μάθῃ ὅτι, καὶ εἰ πήρωσίν μοι ὀφθαλμῶν ἰᾶσθαι ἀδύνατον, τὰ γοῦν τῶν πλεόντων ὅτι τὸ σῴζειν αὐτοὺς καὶ ἀπολλύναι ἀπ' ἐμοῦ πρόσεστι· πλεῖ δὲ ἔτι.*

3

ΠΟΣΕΙΔΩΝΟΣ ΚΑΙ ΑΛΦΕΙΟΥ

1 ΠΟΣ. *Τί τοῦτο, Ἀλφειέ; μόνος τῶν ἄλλων ἐμπεσὼν ἐς τὸ πέλαγος οὔτε ἀναμίγνυσαι τῇ ἅλμῃ, ὡς ἔθος ποταμοῖς ἅπασιν, οὔτε ἀναπαύεις σεαυτὸν διαχυθείς, ἀλλὰ διὰ τῆς θαλάττης ξυνεστὼς καὶ γλυκὺ φυλάττων τὸ ῥεῖθρον, ἀμιγὴς ἔτι καὶ καθαρὸς ἐπείγῃ οὐκ οἶδα ὅποι βύθιος ὑποδὺς καθάπερ οἱ λάροι καὶ ἐρῳδιοί; καὶ ἔοικας ἀνακύψειν που καὶ αὖθις ἀναφανεῖν σεαυτόν.*

ΑΛΦ. *Ἐρωτικόν τι τὸ πρᾶγμά ἐστιν, ὦ Πόσειδον, ὥστε μὴ ἔλεγχε· ἠράσθης δὲ καὶ αὐτὸς πολλάκις.*

ΠΟΣ. *Γυναικός, ὦ Ἀλφειέ, ἢ νύμφης ἐρᾷς ἢ καὶ τῶν Νηρηίδων αὐτῶν μιᾶς;*

μάθῃ ὅτι . . . ὅτι: see App. — **πλεῖ δὲ ἔτι**: cf. Poseidon's remark, *Od.* 5, 290 (see Perrin ad loc.), *ἀλλ' ἔτι μέν μίν φημι ἅδην ἐλάαν κακότητος.*

3

Title: cf. Virg. *Aen.* 3, 694–696, Alpheum fama est huc Elidis amnem | occultas egisse vias subter mare; qui nunc | ore, Arethusa, tuo Siculis confunditur undis. Also *Ecl.* 10, 1–5, Extremum hunc, Arethusa, mihi concede laborem: | . . . Sic tibi, cum fluctus subterlabere Sicanos, | Doris amara suam non intermisceat undam.

1. **μόνος τῶν ἄλλων**: like the use of the superlative. Cf. *Od.* 5, 105 *ὀϊζυρώτατον ἄλλων.* This idiom is a survival of the old ablatival gen. used with sup. as well as comp. (Perrin ad loc.). So less often in Latin, e.g. Tac. *Agric.* 34 hi ceterorum Britannorum

ΑΛΦ. Οὔκ, ἀλλὰ πηγῆς, ὦ Πόσειδον.

ΠΟΣ. Ἡ δέ σοι ποῦ τῆς γῆς αὕτη ῥεῖ;

ΑΛΦ. Νησιῶτίς ἐστι Σικελή· Ἀρέθουσαν αὐτὴν καλοῦσιν.

2 ΠΟΣ. Οἶδα οὐκ ἄμορφον, ὦ Ἀλφειέ, τὴν Ἀρέθουσαν, ἀλλὰ διαυγής τέ ἐστι καὶ διὰ καθαροῦ ἀναβλύζει καὶ τὸ ὕδωρ ἐπιπρέπει ταῖς ψηφίσιν ὅλον ὑπὲρ αὐτῶν φαινόμενον ἀργυροειδές.

ΑΛΦ. Ὡς ἀληθῶς οἶσθα τὴν πηγήν, ὦ Πόσειδον· παρ' ἐκείνην οὖν ἀπέρχομαι.

ΠΟΣ. Ἀλλ' ἄπιθι μὲν καὶ εὐτύχει ἐν τῷ ἔρωτι· ἐκεῖνο δέ μοι εἰπέ, ποῦ τὴν Ἀρέθουσαν εἶδες αὐτὸς μὲν Ἀρκὰς ὤν, ἡ δὲ ἐν Συρακούσαις ἐστίν;

ΑΛΦ. Ἐπειγόμενόν με κατέχεις, ὦ Πόσειδον, περίεργα ἐρωτῶν.

ΠΟΣ. Εὖ λέγεις· χώρει παρὰ τὴν ἀγαπωμένην, καὶ ἀναδὺς ἀπὸ τῆς θαλάττης ξυναναμίγνυσο τῇ πηγῇ καὶ ἓν ὕδωρ γίγνεσθε.

fugacissimi. — **Νησιῶτις**: i.e. in Ortygia. Paus., 5, 7, 2, accepts the whole story — *οὐκ ἔστιν ὅπως ἀπιστήσω* — and quotes a Delphic oracle to prove it.

2. **διὰ καθαροῦ ἀναβλύζει**: *bubbles up through a pure subsoil* or, perhaps, *sends up its stream through the* (*pool of*) *pure water.* — **ἐπιπρέπει ταῖς ψηφίσιν**: *lends beauty to the pebbles, appearing all silvery-white above* (i.e. *because of*) *them;* on this use of *ἐπιπρέπει* cf. *D. Mar.* 1, 1 *ἐπιπρέπει τῷ μετώπῳ*, and ibid. 3 *ἐπιπρέπῃ αὐτῷ*. If used in the other meaning, tr. *is made conspicuous by the* (*background of*) *pebbles.* A fountain in the Mediterranean countries was a pilgrim's shrine: witness Horace's Bandusian fount. The modern visitor to Syracuse finds the site of the fountain surrounded by papyrus plants, but Arethusa, betrayed by an earthquake, now "blends with the brackish Dorian stream." — **ἓν ὕδωρ**: cf. Shelley, *Arethusa:*

And now from their fountains
In Enna's mountains,
Down one vale where the morning basks,
Like friends once parted
Grown single-hearted,
They ply their watery tasks.

— **ἀγαπωμένην**: *beloved*, like *φιλῶ* or even *ἐρῶ*. So in Mod. Grk., e.g. Byron's *Ζωή μου σᾶς ἀγαπῶ*. See L. & S. s.v. *ἀγαπῶ* and Thayer, N.T. Lex., s.v. *φιλῶ*.

5

ΠΑΝΟΠΗΣ ΚΑΙ ΓΑΛΗΝΗΣ

1 ΠΑΝ. Εἶδες, ὦ Γαλήνη, χθὲς οἷα ἐποίησεν ἡ Ἔρις παρὰ τὸ δεῖπνον ἐν Θετταλίᾳ, διότι μὴ καὶ αὐτὴ ἐκλήθη ἐς τὸ συμπόσιον;

ΓΑΛ. Οὐ ξυνειστιώμην ὑμῖν ἔγωγε· ὁ γὰρ Ποσειδῶν ἐκέλευσέ με, ὦ Πανόπη, ἀκύμαντον ἐν τοσούτῳ φυλάττειν τὸ πέλαγος. τί δ' οὖν ἐποίησεν ἡ Ἔρις μὴ παροῦσα;

ΠΑΝ. Ἡ Θέτις μὲν ἤδη καὶ ὁ Πηλεὺς ἀπεληλύθεσαν ἐς τὸν θάλαμον ὑπὸ τῆς Ἀμφιτρίτης καὶ τοῦ Ποσειδῶνος παραπεμφθέντες, ἡ Ἔρις δὲ ἐν τοσούτῳ λαθοῦσα πάντας—ἐδυνήθη δὲ ῥᾳδίως, τῶν μὲν πινόντων, ἐνίων δὲ κροτούντων ἢ τῷ Ἀπόλλωνι κιθαρίζοντι ἢ ταῖς Μούσαις ᾀδούσαις προσεχόντων τὸν νοῦν — ἐνέβαλεν ἐς τὸ ξυμπόσιον μῆλόν τι πάγκαλον, χρυσοῦν ὅλον, ὦ Γαλήνη· ἐπεγέγραπτο δὲ "ἡ καλὴ λαβέτω." κυλινδούμενον δὲ τοῦτο ὥσπερ ἐξεπίτηδες ἧκεν
2 ἔνθα Ἥρα τε καὶ Ἀφροδίτη καὶ Ἀθηνᾶ κατεκλίνοντο. κἀπειδὴ ὁ Ἑρμῆς ἀνελόμενος ἐπελέξατο τὰ γεγραμμένα, αἱ μὲν Νηρηίδες ἡμεῖς ἀπεσιωπήσαμεν· τί γὰρ ἔδει ποιεῖν ἐκείνων παρουσῶν; αἱ δὲ ἀντεποιοῦντο ἑκάστη καὶ αὑτῆς εἶναι τὸ μῆλον ἠξίουν, καὶ εἰ μή γε ὁ Ζεὺς διέστησεν αὐτάς, καὶ ἄχρι χειρῶν ἂν τὸ πρᾶγμα προὐχώρησεν. ἀλλ' ἐκεῖνος, Αὐτὸς

5

Title: cf. Milton's *Lycidas:*

The air was calm, and on the level brine
Sleek Panope with all her sisters played.

1. Ἔρις: cf. Tennyson's *Oenone:* "The Abominable, that uninvited came." — **διότι μή**: see Introd. 39 (*c*). — **τι πάγκαλον**: *one of your perfect beauties.* — **ἐπεγέγραπτο**: *there was written on it.* — **κατεκλίνοντο**: the goddesses were superior to the convention that prescribed for respectable women a sitting posture at meals. Cf. *Symp.* 8, where the words οὐκ ὀλίγαι οὖσαι forbid the conclusion that there was room for them to recline on the *one bench* allotted to their use, and see Gulick, p. 123, and Gardner and Jevons, p. 349.

2. ἐπελέξατο: Ionic for ἀνέγνω. Cf.

μὲν οὐ κρινῶ, φησί, περὶ τούτου — καίτοι ἐκεῖναι αὐτὸν δικάσαι ἠξίουν — ἄπιτε δὲ ἐς τὴν Ἴδην παρὰ τὸν Πριάμου παῖδα, ὃς οἶδέ τε διαγνῶναι τὸ κάλλιον φιλόκαλος ὤν, καὶ οὐκ ἂν ἐκεῖνος κρίναι κακῶς.

ΓΑΛ. Τί οὖν αἱ θεαί, ὦ Πανόπη;

ΠΑΝ. Τήμερον, οἶμαι, ἀπίασιν ἐς τὴν Ἴδην, καί τις ἥξει μετὰ μικρὸν ἀπαγγέλλων ἡμῖν τὴν κρατοῦσαν.

ΓΑΛ. Ἤδη σοί φημι, οὐκ ἄλλη κρατήσει τῆς Ἀφροδίτης ἀγωνιζομένης, ἢν μὴ πάνυ ὁ διαιτητὴς ἀμβλυώττῃ.

6

ΤΡΙΤΩΝΟΣ, ΑΜΥΜΩΝΗΣ, ΚΑΙ ΠΟΣΕΙΔΩΝΟΣ

1 ΤΡΙΤ. Ἐπὶ τὴν Λέρναν, ὦ Πόσειδον, παραγίνεται καθ' ἑκάστην ἡμέραν ὑδρευσομένη παρθένος, πάγκαλόν τι χρῆμα· οὐκ οἶδα ἔγωγε καλλίω παῖδα ἰδών.

ΠΟΣ. Ἐλευθέραν τινά, ὦ Τρίτων, λέγεις, ἢ θεράπαινά τις ὑδροφόρος ἐστίν;

ΤΡΙΤ. Οὐ μὲν οὖν, ἀλλὰ τοῦ Αἰγυπτίου ἐκείνου θυγάτηρ, μία τῶν πεντήκοντα καὶ αὐτή, Ἀμυμώνη τοὔνομα· ἐπυθόμην γὰρ ἥτις καλοῖτο καὶ τὸ γένος. ὁ Δαναὸς δὲ σκληραγωγεῖ

V. H. B 36. — **διαιτητής**: *D. Deor.* 20, entitled Θεῶν Κρίσις — for which this may be considered a first sketch — furnished Hans Sachs material for his *Judgment of Paris*. Cf. Introd. p. xxii f.

6

Title: for story see Class. Dict. s.vv. "Danaus"; "Aegyptus"; "Amymone." See also the fresco still in situ in the House of the Vettii in Pompeii, discovered in 1894–1895. Cf. Mau's *Pompeii*, p. 323.

1. **Λέρναν**: situated some five miles south of Argos on the west side of the Bay of Argolis directly opposite Nauplia. — **ὑδρευσομένη**: slaves, when available, were the water-carriers; but so also were the women of the citizen class (cf. Ar. *Lys.* 327 ff.) and, in heroic times, even princesses (Baumeister, *Denkmäler*, I, 357). See note on *Vit. Auct.* 7. — **τοῦ Αἰγυπτίου**: i.e. Danaus brother of Aegyptus.

τὰς θυγατέρας καὶ αὐτουργεῖν διδάσκει καὶ πέμπει ὕδωρ τε ἀρυσομένας καὶ πρὸς τὰ ἄλλα παιδεύει ἀόκνους εἶναι αὐτάς.

2 ΠΟΣ. Μόνη δὲ παραγίνεται μακρὰν οὕτω τὴν ὁδὸν ἐξ Ἄργους ἐς Λέρναν;

ΤΡΙΤ. Μόνη· πολυδίψιον δὲ τὸ Ἄργος, ὡς οἶσθα· ὥστε ἀνάγκη ἀεὶ ὑδροφορεῖν.

ΠΟΣ. Ὦ Τρίτων, οὐ μετρίως διετάραξάς με εἰπὼν τὰ περὶ τῆς παιδός· ὥστε ἴωμεν ἐπ' αὐτήν.

ΤΡΙΤ. Ἴωμεν· ἤδη γοῦν καιρὸς τῆς ὑδροφορίας· καὶ σχεδόν που κατὰ μέσην τὴν ὁδόν ἐστιν ἰοῦσα ἐς τὴν Λέρναν.

ΠΟΣ. Οὐκοῦν ζεῦξον τὸ ἅρμα· ἢ τοῦτο μὲν πολλὴν ἔχει τὴν διατριβὴν ὑπάγειν τοὺς ἵππους τῇ ζεύγλῃ καὶ τὸ ἅρμα ἐπισκευάζειν, σὺ δὲ ἀλλὰ δελφῖνά μοί τινα τῶν ὠκέων παράστησον· ἐφιππάσομαι γὰρ ἐπ' αὐτοῦ τάχιστα.

ΤΡΙΤ. Ἰδού σοι οὑτοσὶ δελφίνων ὁ ὠκύτατος.

ΠΟΣ. Εὖ γε· ἀπελαύνωμεν· σὺ δὲ παρανήχου, ὦ Τρίτων. κἀπειδὴ πάρεσμεν ἐς τὴν Λέρναν, ἐγὼ μὲν λοχήσω ἐνταῦθά που, σὺ δὲ ἀποσκόπει· ὁπόταν αἴσθῃ προσιοῦσαν αὐτὴν —

ΤΡΙΤ. Αὕτη σοι πλησίον.

3 ΠΟΣ. Καλή, ὦ Τρίτων, καὶ ὡραία παρθένος· ἀλλὰ συλληπτέα ἡμῖν ἐστιν.

ΑΜ. Ἄνθρωπε, ποῖ με ξυναρπάσας ἄγεις; ἀνδραποδιστὴς εἶ, καὶ ἔοικας ἡμῖν ὑπ' Αἰγύπτου τοῦ θείου ἐπιπεμφθῆναι· ὥστε βοήσομαι τὸν πατέρα.

ΤΡΙΤ. Σιώπησον, ὦ Ἀμυμώνη· Ποσειδῶν ἐστι.

ΑΜ. Τί Ποσειδῶν λέγεις; τί βιάζῃ με, ὦ ἄνθρωπε, καὶ ἐς τὴν θάλατταν καθέλκεις; ἐγὼ δὲ ἀποπνιγήσομαι ἡ ἀθλία καταδῦσα.

2. **ὡς οἶσθα**: i.e. because Homer *Il.* 4, 171 called Argos πολυδίψιον. — **ἐφιππάσομαι**: so παρίππευον is used of a dolphin-mount in *D. Mar.* 15, 3.

3. **τί Ποσειδῶν λέγεις**: the same form, Ποσειδῶν, is retained in quoting. Cf. similar use with the article, e.g. τὸ Ξέρξης *the word Xerxes*, and cf.

ΠΟΣ. Θάρρει, οὐδὲν δεινὸν μὴ πάθῃς· ἀλλὰ καὶ πηγὴν ἐπώνυμόν σοι ἀναδοθῆναι ποιήσω ἐνταῦθα πατάξας τῇ τριαίνῃ τὴν πέτραν πλησίον τοῦ κλύσματος, καὶ σὺ εὐδαίμων ἔσῃ καὶ μόνη τῶν ἀδελφῶν οὐχ ὑδροφορήσεις ἀποθανοῦσα.

8

ΠΟΣΕΙΔΩΝΟΣ ΚΑΙ ΔΕΛΦΙΝΩΝ

1 ΠΟΣ. Εὖ γε, ὦ Δελφῖνες, ὅτι ἀεὶ φιλάνθρωποί ἐστε, καὶ πάλαι μὲν τὸ τῆς Ἰνοῦς παιδίον ἐπὶ τὸν Ἰσθμὸν ἐκομίσατε ὑποδεξάμενοι ἀπὸ τῶν Σκειρωνίδων μετὰ τῆς μητρὸς ἐμπεσόν, καὶ νῦν σὺ τὸν κιθαρῳδὸν τουτονὶ τὸν ἐκ Μηθύμνης ἀναλαβὼν ἐξενήξω ἐς Ταίναρον αὐτῇ σκευῇ καὶ κιθάρᾳ, οὐδὲ περιεῖδες κακῶς ὑπὸ τῶν ναυτῶν ἀπολλύμενον.

Peregr. 33 τὸ Τέλει. — **οὐδὲν δεινὸν μή**: *no evil shall befall you;* see examples in GMT. 295, 296. See App. — **πηγήν**: this is a "copious spring" to-day at the modern Μύλοι (Lerna) on the road from Argos to Tripolitza. Amymone alone (μόνη τῶν ἀδελφῶν) among the Danaides was to have a fountain instead of a sieve for her ὑδροφορία. — **εὐδαίμων**: the other exception, Hypermnestra, fares still better. Cf. Horace *Carm.* 3, 11: In omne virgo | nobilis aevum.

8

For the story of Arion read Hdt. 1, 23, 24; Ovid *Fasti* 2, 91–116; Pseudo-Arion *Fragm.* (*Anth. Lyr.* 5); and see H. W. Smyth's *Melic Poets*, pp. 205–208, for discussion of the legend and the authenticity of this fragment attributed to Arion, and for embellishments of the story in later writers.

For the story of "The Boy and the Dolphin" cf. Pliny *Ep.* 9, 33. For a representation of a comic chorus mounted on dolphins see Daremberg et Saglio, *Dictionnaire des Antiquités*, fig. 1428.

1. **τὸ τῆς Ἰνοῦς παιδίον**: Melicertes-Palaemon. The names both of mother and son suffered a sea-change. Cf. *Od.* 5, 333:

τὸν δὲ ἴδεν Κάδμου θυγάτηρ καλλίσφυρος Ἰνώ,
Λευκοθέη, ἣ πρὶν μὲν ἔην βροτὸς αὐδήεσσα.

The rider on the bronze statuette at Taenarum has been by some critics identified with this Melicertes-Palaemon who was carried by dolphins to the Isthmus, and by others with Taras, son of Poseidon, who rode safely on a dolphin from Taenarum to Tarentum (see Smyth, l.c.). — **ἐκομίσατε**: so in Bacchyl. 17, 97–100 the dolphins bear Theseus swiftly to the halls of his father Poseidon: φέρον δὲ δελφῖνες ἁλιναιέται μέγαν θοῶς Θησέα πατρὸς ἱππίου δόμον. — **τὸν ἐκ Μηθύμνης**: Arion. — **ἐξενήξω**: see *V. H.* B 47. — **αὐτῇ σκευῇ καὶ κιθάρᾳ**:

ΔΕΛΦ. Μὴ θαυμάσῃς, ὦ Πόσειδον, εἰ τοὺς ἀνθρώπους εὖ ποιοῦμεν ἐξ ἀνθρώπων γε καὶ αὐτοὶ ἰχθύες γενόμενοι.

ΠΟΣ. Καὶ μέμφομαί γε τῷ Διονύσῳ, ὅτι ὑμᾶς καταναυμαχήσας μετέβαλε, δέον χειρώσασθαι μόνον, ὥσπερ τοὺς ἄλλους ὑπηγάγετο. πῶς δ' οὖν τὰ κατὰ τὸν Ἀρίονα τοῦτον ἐγένετο, ὦ Δελφίν;

2 ΔΕΛΦ. Ὁ Περίανδρος, οἶμαι, ἔχαιρεν αὐτῷ καὶ πολλάκις μετεπέμπετο αὐτὸν ἐπὶ τῇ τέχνῃ, ὁ δὲ πλουτήσας παρὰ τοῦ τυράννου ἐπεθύμησε πλεύσας οἴκαδε ἐς τὴν Μήθυμναν ἐπιδείξασθαι τὸν πλοῦτον, καὶ ἐπιβὰς πορθμείου τινὸς κακούργων ἀνδρῶν ὡς ἔδειξε πολὺν ἄγων χρυσόν τε καὶ ἄργυρον, ἐπεὶ κατὰ μέσον τὸ Αἰγαῖον ἐγένοντο, ἐπιβουλεύουσιν αὐτῷ οἱ ναῦται· ὁ δὲ — ἠκροώμην γὰρ ἅπαντα παρανέων τῷ σκάφει — Ἐπεὶ ταῦτα ὑμῖν δέδοκται, ἔφη, ἀλλὰ τὴν σκευὴν ἀναλαβόντα με καὶ ᾄσαντα θρῆνόν τινα ἐπ' ἐμαυτῷ ἑκόντα ἐάσατε ῥῖψαι ἐμαυτόν. ἐπέτρεψαν οἱ ναῦται καὶ ἀνέλαβε τὴν σκευὴν καὶ ᾖσε πάνυ λιγυρόν, καὶ ἔπεσεν ἐς τὴν θάλατταν ὡς αὐτίκα πάντως ἀποθανούμενος· ἐγὼ δὲ ὑπολαβὼν καὶ ἀναθέμενος αὐτὸν ἐξενηξάμην ἔχων ἐς Ταίναρον.

ΠΟΣ. Ἐπαινῶ σε τῆς φιλομουσίας· ἄξιον γὰρ τὸν μισθὸν ἀποδέδωκας αὐτῷ ἀκροάσεως.

so in Hdt. l.c. Arion, after putting on *πᾶσαν τὴν σκευὴν* and taking *τὴν κιθάραν*, stands before the sailors and discourses music and then flings himself into the sea *ὡς εἶχε, σὺν τῇ σκευῇ πάσῃ*. In Ovid l.c. in medias ornatus desilit undas. — **ἐξ ἀνθρώπων . . . ἰχθύες**: cf. *h. Hom.* 7, 51 ff. where the pirates, who had kidnapped Dionysus, are changed by the god into dolphins:

. . . οἳ δὲ θύραζε κακὸν μόρον ἐξαλύοντες
πάντες ὁμῶς πήδησαν, ἐπεὶ ἴδον, εἰς ἅλα δῖαν,
δελφῖνες δ' ἐγένοντο.

On the Lysicrates monument in Athens we see the metamorphosis half-finished.

2. **Περίανδρος**: Periander, tyrant of Corinth, comes off with credit in this stage of his career, but he fell from grace and was repeatedly displaced from revised lists of the "Seven Sages." — **ἐς τὴν Μήθυμναν**: both Methymna (in Lesbos) and Corinth, with her twofold water-ways, had legends to tell of grateful dolphins. See Smyth, l.c. — **οἴκαδε ἐς τὴν Μήθυμναν**: in Hdt. 1, 24 Arion was on his way back to Corinth from Tarentum. — **ἔπεσεν**: see App.

12

ΔΩΡΙΔΟΣ ΚΑΙ ΘΕΤΙΔΟΣ

1 ΔΩΡ. Τί δακρύεις, ὦ Θέτι;

ΘΕΤ. Καλλίστην, ὦ Δωρί, κόρην εἶδον ἐς κιβωτὸν ὑπὸ τοῦ πατρὸς ἐμβληθεῖσαν, αὐτήν τε καὶ βρέφος αὐτῆς ἀρτιγέννητον· ἐκέλευσε δὲ ὁ πατὴρ τοὺς ναύτας ἀναλαβόντας τὸ κιβώτιον, ἐπειδὰν πολὺ ἀπὸ τῆς γῆς ἀποσπάσωσιν, ἀφεῖναι ἐς τὴν θάλατταν, ὡς ἀπόλοιτο ἡ ἀθλία, καὶ αὐτὴ καὶ τὸ βρέφος.

ΔΩΡ. Τίνος δὲ ἕνεκα, ὦ ἀδελφή; εἰπέ, εἴ τι ἔμαθες.

ΘΕΤ. Ἀκριβῶς ἅπαντα. Ὁ γὰρ Ἀκρίσιος ὁ πατὴρ αὐτῆς καλλίστην οὖσαν ἐπαρθένευεν ἐς χαλκοῦν τινα θάλαμον ἐμβαλών· εἶτα, εἰ μὲν ἀληθὲς οὐκ ἔχω εἰπεῖν, φασὶ δ' οὖν τὸν Δία χρυσὸν γενόμενον ῥυῆναι διὰ τοῦ ὀρόφου ἐπ' αὐτήν, δεξαμένην δὲ ἐκείνην ἐς τὸν κόλπον καταρρέοντα τὸν θεὸν ἐγκύμονα γενέσθαι. τοῦτο αἰσθόμενος ὁ πατήρ, ἄγριός τις καὶ ζηλότυπος γέρων, ἠγανάκτησε καὶ ὑπό τινος μεμοιχεῦσθαι οἰηθεὶς αὐτὴν ἐμβάλλει ἐς τὴν κιβωτὸν ἄρτι τετοκυῖαν.

2 ΔΩΡ. Ἡ δὲ τί ἔπραττεν, ὦ Θέτι, ὁπότε καθίετο;

12

Title: Doris is either the mother of the Nereids or (as evidently in *D. Mar.* 1) is herself one of the Nereids. Thetis here, calling her by name, seems to address her as sister. For list of the Nereids see Hes. *Theog.* 240 ff.

For Danaë and Perseus see Simonides *Fragm.* 13 and the almost over-beautiful translation of J. A. Symonds (*Greek Poets* c. x); cf. also Horace *Carm.* 3, 16, and William Morris, *The Doom of King Acrisius.* Danaë was the great-granddaughter of Hypermnestra and Lynceus.

Date. — This letter must have been written shortly after the self-burning of Peregrinus. This probably took place in 169 A.D. Eusebius, to be sure (see above), puts it at the 236th Olympiad, i.e. 165 A.D.[3] But Croiset[4] has shown that it was more probably at the next celebration of the games, in 169 A.D., which seems best to tally with such facts as we can date. Lucian himself tells us, § 35, that he had been present three times before. It is probable that the

[1] The *Philopatris* is undoubtedly spurious, being much later.

[2] The popular cry against the Christians was αἶρε τοὺς ἀθέους. See Gildersleeve on Just. Mart. *Apol.* A 4, 32.

[3] See also Nissen, *Rh. M.* 43 (1888).

[4] Pp. 17–20, and p. 73.

removal of his family from Syria and the trip recounted in *Alexander Pseudomantis* (Introd. p. xii) and his final voyage across the Aegean in the same vessel with Peregrinus (see *Peregr.* 43) took place in 164. This would seem to make possible the date 165. But Lucian refers to this voyage as something in the past (πάλαι), and what we know of his career will hardly allow us to believe that he could have been at Olympia more than twice before the year 165 A.D. Moreover, his animus against the Cynics in this piece would lead us to prefer the later date, allowing more time between it and the *Dialogues of the Dead*, for example, or the *Menippus*, in which the Cynics are treated with great respect. One additional point may perhaps be raised which confuses rather than helps to make clear. Lucian refers to the announcement of the intended suicide four years in advance as something of which he now learns for the first time on the eve of the cremation. If he had been present four years before in 165 he would have heard of it then. This, however, may best suit the incognito of the speaker in the scene at Elis. It is much more likely that Lucian made a special point of being present as a reporter.

Fugitivi. — As the *Piscator* is a sequel to the *Vitarum Auctio*, the *Vera Historia* to *Quomodo Historia Conscribenda sit*, so in the *Fugitivi*[1] we have a sequel to the *Peregrinus*, written probably in the following year. The success of the *Piscator* as a sequel may have suggested this series also. But there is a fundamental difference. The *Fugitivi* is again a personal attack upon a living Cynic under the pseudonym of Cantharus. It was doubtless written as a retort to maledictions that the *Peregrinus* had called forth, and takes the form of a pamphlet directed against an individual;[2] while the *Piscator* was an apologia, and a general attack on all charlatan philosophers.

Lucian grew more and more bitter against shams. While we feel doubtful about the truth of all the accusations directly launched or made by innuendo against Peregrinus and the unfortunate Cantharus, we are also convinced that the pictures are fairly typical. The amiable praises of Aulus Gellius are too uncritical, and the whitewash of Wieland and Bernays will crack off in patches and leave

[1] See below on § 37. [2] But see Hirzel, *Der Dialog*, II, 308.

us at best but a sorry figure — a morality mummer, a harlequin Heracles.

Lucian, in fine, has given us in this pamphlet a vivid picture of life in the second century. We can see and hear the Cynics, squalid and barking. As we read, the sacred Altis of Olympia with its temples, statues, marble exedra and echo colonnade, the athletes and the thronging crowds gossiping, wrangling, gaping after novelty, come before our eyes. No longer are we walking among the deserted ruins of to-day, and the Kronos hill looks down once more upon a scene peopled with real human beings, living their life for good and ill. But we have turned on too strong a light upon our author. His attitude as a *πολυμισής*[1] has warped his judgment. His hatred of charlatans is controlled by no saving faith in nobility of character. He can no more appreciate the good in a genuine Cynic than in a Stoic.[2] A fanatic is a fraud. His mocking laughter at the close of the *Peregrinus* goes echoing down the ruined colonnade at Olympia as if amongst the ruins of character, human and divine. His satire taints the Alpheus itself with gall so bitter that Arethusa's fount turns brackish,[3] though escaping pure from the encompassing brine of the Sicilian sea.

[1] Cf. *Pisc.* 20.

[2] Cf. *Hermot.* sub fin. and see Introd. p. xviii.

[3] See *D. Mar.* supra, p. 174.

ΠΕΡΙ ΤΗΣ ΠΕΡΕΓΡΙΝΟΥ ΤΕΛΕΥΤΗΣ

1 Λουκιανὸς Κρονίῳ εὖ πράττειν. Ὁ κακοδαίμων Περεγρῖνος ἢ ὡς αὐτὸς ἔχαιρεν ὀνομάζων ἑαυτὸν Πρωτεὺς αὐτὸ δὴ ἐκεῖνο τὸ τοῦ Ὁμηρικοῦ Πρωτέως ἔπαθεν· ἅπαντα γὰρ δόξης ἕνεκα γενόμενος καὶ μυρίας τροπὰς τραπόμενος τὰ τελευταῖα ταῦτα καὶ πῦρ ἐγένετο· τοσούτῳ ἄρα τῷ ἔρωτι τῆς δόξης εἴχετο. καὶ νῦν ἐκεῖνος ἀπηνθράκωταί σοι ὁ βέλτιστος κατὰ τὸν Ἐμπεδοκλέα, παρ' ὅσον ὃ μὲν κἂν διαλαθεῖν ἐπειράθη ἐμβαλὼν ἑαυτὸν εἰς τοὺς κρατῆρας, ὁ δὲ γεννάδας οὗτος τὴν πολυανθρωποτάτην τῶν Ἑλληνικῶν πανηγύρεων τηρήσας, πυρὰν ὅτι μεγίστην νήσας ἐνεπήδησεν ἐπὶ τοσούτων μαρτύρων καὶ λόγους τινὰς ὑπὲρ τούτου εἰπὼν πρὸς τοὺς

1. **Κρονίῳ**: a friend of Lucian otherwise unknown, but probably a Platonic philosopher, as the complimentary use of the Platonic formula *εὖ πράττειν*, rather than the Epicurean *χαίρειν*, would seem to indicate. Cf. Bernays, *Lucian und die Kyniker*, pp. 3 and 88. — **εὖ πράττειν**: for the relative merits of the greetings *χαίρειν*, *εὖ πράττειν*, and *ὑγιαίνειν* cf. *Laps. in Sal.*, especially § 4, where Plato's letters are appealed to for the use of *εὖ πράττειν*. Cf. also in the letter to the Platonic Nigrinus, § 1, *Λουκιανὸς Νιγρίνῳ εὖ πράττειν*. In the four *ἐπιστολαὶ Κρονικαί*, however, and in the letter of Odysseus to Calypso, *V. H.* B 35 (q.v.), *χαίρειν* is used. The Cynic "greeting" was in the Scotch sense! *Διογένης ὁ κύων τοῖς καλουμένοις Ἕλλησι οἰμώζειν.* Cf. Bernays, op. cit., p. 96. — **ἀπηνθράκωται**: *has been carbonized.* So used of Empedocles, *D. Mort.* 20, 4, *ἀπηνθράκωσεν αὐταῖς κρηπῖσιν.* And the river-god Xanthus, *D. Mar.* 11, 1, exclaims: *I am charred from head to foot and all of a boil!* *ἀλλ' ἀπηνθράκωμαι ὅλος . . . καὶ ζέω.* — **κατὰ τὸν Ἐμπεδοκλέα**: see note on *V. H.* B 21. — **παρ' ὅσον**: *(only) with this slight difference that;* i.e. nisi quod. Cf. *Hist. Conscr.* 18 *ὁρᾷς, ὅμοιος οὗτος ἐκείνῳ, παρ' ὅσον ὃ μὲν Θουκυδίδῃ, οὗτος δὲ Ἡροδότῳ εὖ*

2 Ἕλληνας οὐ πρὸ πολλῶν ἡμερῶν τοῦ τολμήματος. πολλὰ
τοίνυν δοκῶ μοι ὁρᾶν σε γελῶντα ἐπὶ τῇ κορύζῃ τοῦ γέροντος, μᾶλλον δὲ καὶ ἀκούω βοῶντος οἷά σε εἰκὸς βοᾶν, ὢ τῆς ἀβελτερίας, ὢ τῆς δοξοκοπίας, ὢ τῶν ἄλλων ἃ λέγειν εἰώθαμεν περὶ αὐτῶν. σὺ μὲν οὖν πόρρω ταῦτα καὶ μακρῷ ἀσφαλέστερον, ἐγὼ δὲ παρὰ τὸ πῦρ αὐτό, καὶ ἔτι πρότερον ἐν πολλῷ πλήθει τῶν ἀκροατῶν εἶπον αὐτά, ἐνίων μὲν ἀχθομένων, ὅσοι ἐθαύμαζον τὴν ἀπόνοιαν τοῦ γέροντος· ἦσαν δέ τινες οἳ καὶ αὐτοὶ ἐγέλων ἐπ᾽ αὐτῷ. ἀλλ᾽ ὀλίγου δεῖν ὑπὸ τῶν Κυνικῶν ἐγώ σοι διεσπάσθην ὥσπερ ὁ Ἀκταίων ὑπὸ τῶν κυνῶν ἢ ὁ
3 ἀνεψιὸς αὐτοῦ ὁ Πενθεὺς ὑπὸ τῶν Μαινάδων. ἡ δὲ πᾶσα τοῦ
πράγματος διασκευὴ τοιάδε ἦν· τὸν μὲν ποιητὴν οἶσθα οἷός τε ἦν καὶ ἡλίκα ἐτραγῴδει παρ᾽ ὅλον τὸν βίον ὑπὲρ τὸν Σοφοκλέα καὶ τὸν Αἰσχύλον. ἐγὼ δ᾽ ἐπεὶ τάχιστα εἰς τὴν Ἦλιν

μάλα ἐῴκει: also *Scytha* 11, *Indoct.* 10, and *de Salt.* 4 (see Sbdt. ad loc.); but in *Hist. Conscr.* 45 tr. *in so far as.* — **οὐ πρὸ πολλῶν ἡμερῶν τοῦ τολμήματος**: *not many days before the final venture.* This use of πρό is extensive in late writers, especially with numerals, e.g. infra § 44 πρὸ ἐννέα ἡμερῶν (compare Lat. ante novem dies = novem diebus ante with ὀλίγον πρὸ τούτων, Thuc. 2, 8, which becomes πρὸ ὀλίγου τούτων). Cf. Du Mesnil, *Grammatica, quam Lucianus secutus est, ratio* (1867), p. 31, and L. & S. s.v.

2. **κορύζῃ**: *drivelling stupidity.* Lucian is fond of this unsavory metaphor. — **ὢ τῆς ἀβελτερίας** κτλ.: *oh, what fatuity! oh, what hunger and thirst after notoriety! oh, — all the rest of the usual exclamations!* — **σὺ μὲν οὖν** κτλ.: for omission of verb see Schmid, I, 423. — **παρὰ τὸ πῦρ αὐτό**: *in the full glare of the fire itself;* for the scene see § 37. The prep. may shift from the meaning *during* (as in §§ 3 and 14) to *at the moment of* (as in Dem. 469, 20 παρὰ τοιοῦτον καιρόν). — **ἔτι πρότερον** κτλ.: from this it is inferred that Lucian was himself the unnamed speaker in § 7 ff. — **ὅσοι**: instead of simple relative pron. See Schmid, I, 281. — **διεσπάσθην . . . ὑπὸ τῶν κυνῶν**: from these words may have been patched together the amiable account of Lucian's death that Suidas repeats; see Introd. p. xiv. Suidas's words are: τελευτῆσαι δὲ αὐτὸν λόγος ὑπὸ κυνῶν, ἐπεὶ κατὰ τῆς ἀληθείας ἐλύττησεν. εἰς γὰρ τὸν Περεγρίνου βίον καθάπτεται τοῦ Χριστιανισμοῦ, καὶ αὐτὸν βλασφημεῖ τὸν Χριστὸν ὁ παμμίαρος. διὸ καὶ τῆς λύττης ποινὰς ἀρκούσας ἐν τῷ παρόντι δέδωκεν· ἐν δὲ τῷ μέλλοντι κληρονόμος τοῦ αἰωνίου πυρὸς μετὰ Σατανοῦ γενήσεται.

3. **πράγματος**: editt. generally give δράματος. Cf. infra § 37. See App. — **εἰς τὴν Ἦλιν**: until the end of § 31 the

ἀφικόμην, διὰ τοῦ γυμνασίου ἀνιὼν ἐπήκουον ἅμα Κυνικοῦ τινος μεγάλῃ καὶ τραχείᾳ τῇ φωνῇ τὰ συνήθη ταῦτα καὶ ἐκ τριόδου τὴν ἀρετὴν ἐπιβοωμένου καὶ ἅπασιν ἁπαξαπλῶς λοιδορουμένου. εἶτα κατέληξεν αὐτῷ ἡ βοὴ ἐς τὸν Πρωτέα· καὶ ὡς ἂν οἷός τε ὦ, πειράσομαί σοι αὐτὰ ἐκεῖνα ἀπομνημονεῦσαι ὡς ἐλέγετο. σὺ δὲ γνωριεῖς δηλαδὴ πολλάκις αὐτοῖς παρα-
4 στὰς βοῶσι. Πρωτέα γάρ τις, ἔφη, κενόδοξον τολμᾷ λέγειν, ὦ γῆ καὶ ἥλιε καὶ ποταμοὶ καὶ θάλαττα καὶ πατρῷε Ἡράκλεις. Πρωτέα τὸν ἐν Συρίᾳ δεθέντα, τὸν τῇ πατρίδι ἀνέντα πεντακισχίλια τάλαντα, τὸν ἀπὸ τῆς Ῥωμαίων πόλεως ἐκβληθέντα. τὸν τοῦ Ἡλίου ἐπισημότερον, τὸν αὐτῷ ἀνταγωνίσασθαι τῷ Ὀλυμπίῳ δυνάμενον; ἀλλ᾽ ὅτι διὰ πυρὸς ἐξάγειν τοῦ βίου διέγνωκεν ἑαυτόν, εἰς κενοδοξίαν τινὲς τοῦτο ἀναφέρουσιν. οὐ γὰρ Ἡρακλῆς οὕτως; οὐ γὰρ Ἀσκληπιὸς κεραυνῷ; οὐ γὰρ τὰ τελευταῖα Ἐμπεδοκλῆς εἰς τοὺς κρατῆρας;

5 Ὡς δὲ ταῦτα εἶπεν ὁ Θεαγένης — τοῦτο γὰρ ὁ κεκραγὼς ἐκεῖνος ἐκαλεῖτο — ἠρόμην τινὰ τῶν παρεστώτων τί βούλεται τὸ περὶ τοῦ πυρὸς ἢ τί Ἡρακλῆς καὶ Ἐμπεδοκλῆς πρὸς τὸν Πρωτέα. ὁ δέ, Οὐκ εἰς μακράν, ἔφη, καύσει ἑαυτὸν ὁ

scene is laid at Elis. — **διὰ τοῦ γυμνασίου**: see in Paus. 6, 23 a description of the gymnasium in Elis for the training of athletes preliminary to the Olympic games. — **ἀνιών**: see App. — **τραχείᾳ τῇ φωνῇ**: see Introd. 23 (*a*). — **ἁπαξαπλῶς**: cf. *Vit. Auct.* 11. — **αὐτὰ ἐκεῖνα ὡς ἐλέγετο**: *his remarks verbatim.*

4. αὐτῷ . . . τῷ Ὀλυμπίῳ: the famous statue by Phidias. Cf. § 6 and see representation on coins of Elis in Gardner's *Types of Greek Coins*, Pl. xv, 18, 19. — **Ἡρακλῆς**: Heracles, frenzied with pain from the poisoned shirt of Nessus, immolated himself on Mount Oeta and was received into immortality in Olympus amidst peals of thunder. He was the patron saint of the Cynics, and one of them, *Symp.* 16, more pious than polite, drinks the bride's health in the name *Ἡρακλέους ἀρχηγέτου*. — **Ἀσκληπιός**: see above, *D. Deor.* 13. The common text adds *καὶ Διόνυσος*, but Dionysus did not perish by a thunderbolt; his baptism of fire was prenatal. See App.

5. Θεαγένης: see Introd. to *Peregr.* p. 202. — **τί βούλεται**: *what is the meaning of?* Cf. Lat. quid sibi vult (haec res)? — **Οὐκ εἰς μακράν**: cf. *Somn.* 1. —

Πρωτεὺς Ὀλυμπίασι. Πῶς, ἔφην, ἢ τίνος ἕνεκα; εἶτα ὁ μὲν
ἐπειρᾶτο λέγειν, ἐβόα δὲ ὁ Κυνικός, ὥστε ἀμήχανον ἦν ἄλλου
ἀκούειν. ἐπήκουον οὖν τὰ λοιπὰ ἐπαντλοῦντος αὐτοῦ καὶ
θαυμαστάς τινας ὑπερβολὰς διεξιόντος κατὰ τοῦ Πρωτέως·
τὸν μὲν γὰρ Σινωπέα ἢ τὸν διδάσκαλον αὐτοῦ Ἀντισθένη
οὐδὲ παραβάλλειν ἠξίου αὐτῷ, ἀλλ᾽ οὐδὲ τὸν Σωκράτην αὐτόν,
ἐκάλει δὲ τὸν Δία ἐπὶ τὴν ἅμιλλαν. εἶτα μέντοι ἔδοξεν αὐτῷ
ἴσους πως φυλάξαι αὐτοὺς καὶ οὕτω κατέπαυε τὸν λόγον·
6 Δύο γὰρ ταῦτα, ἔφη, ὁ βίος ἄριστα δημιουργήματα ἐθεάσατο,
τὸν Δία τὸν Ὀλύμπιον καὶ Πρωτέα, πλάσται δὲ καὶ τεχνῖται
τοῦ μὲν Φειδίας, τοῦ δὲ ἡ φύσις. ἀλλὰ νῦν ἐξ ἀνθρώπων εἰς
θεοὺς τὸ ἄγαλμα τοῦτο οἰχήσεται ὀχούμενον ἐπὶ τοῦ πυρὸς
ὀρφανοὺς ἡμᾶς καταλιπόν. ταῦτα ξὺν πολλῷ ἱδρῶτι διεξελ-
θὼν ἐδάκρυε μάλα γελοίως καὶ τὰς τρίχας ἐτίλλετο ὑποφει-
δόμενος μὴ πάνυ ἕλκειν, καὶ τέλος ἀπῆγον αὐτὸν λύζοντα
7 μεταξὺ τῶν Κυνικῶν τινες παραμυθούμενοι. μετὰ δὲ τοῦτον

Ὀλυμπίασι: *at Olympia.* As a matter of fact this took place out at Harpina (see § 35), and perhaps we should read and translate (see App.) Ὀλυμπιάσι *at the Olympic games.*—**τὸν Σινωπέα . . . Ἀντισθένην . . . Σωκράτην**: the Cynic pedigree. Antisthenes founded and Diogenes developed the school; Crates, the next successor, is also introduced in *D. Mort.* 11. All roads lead to Rome, and such diverse creeds as the Cynic and Epicurean were one-sided perversions or extensions of the wisdom of Socrates. See Introd. to *Vit. Auct.* and *Pisc.*, p. 90.—**οὕτω κατέπαυε** κτλ.: *thus he topped off his harangue.* Contrast with aor. § 33 (sub fin.) and see App.

6. **τοῦ μὲν Φειδίας** κτλ.: this is not out of keeping with the "see Naples and die" feeling with which Phidias's great statue was regarded; e.g. Dion Chrysostomus, *Or.* 12, 51, says of it *τῷ γὰρ ὄντι καὶ τὴν ἄλογον ἂν ἐκπλήξειε τοῦτό γε τῶν ζῴων φύσιν, εἰ δύναιντο προσιδεῖν μόνον.* Cf. also Friedländer, *Sittengeschichte Roms*, III, 219.—**ὀχούμενον ἐπὶ τοῦ πυρός**: *riding on the (chariot of) fire.*—**ὀρφανοὺς ἡμᾶς καταλιπόν**: this would recall to a Greek audience Plato *Phaedo* 116 A *ἡγούμενοι ὥσπερ πατρὸς στερηθέντες διάξειν ὀρφανοὶ τὸν ἔπειτα βίον.* The self-importance of certain Christian commentators must needs see a reference to S. John 14, 18, but *ὁ πατὴρ ὑμῶν Πλάτων*, *Philops.* 16, shows how conventional this reference had become.—**λύζοντα μεταξύ**: *sobbing the while.*—**παραμυθούμενοι**: note tense. Theagenes *refused* to be comforted.

ἄλλος εὐθὺς ἀναβαίνει οὐ περιμείνας διαλυθῆναι τὸ πλῆθος,
ἀλλὰ ἐπ' αἰθομένοις τοῖς προτέροις ἱερείοις ἐπέχει τῶν σπον-
δῶν· καὶ τὸ μὲν πρῶτον ἐπὶ πολὺ ἐγέλα καὶ δῆλος ἦν νειό-
θεν αὐτὸ δρῶν, εἶτα ἤρξατο ὧδέ πως· Ἐπεὶ ὁ κατάρατος
Θεαγένης τέλος τῶν μιαρωτάτων αὑτοῦ λόγων τὰ Ἡρακλείτου
δάκρυα ἐποιήσατο, ἐγὼ κατὰ τὸ ἐναντίον ἀπὸ τοῦ Δημοκρίτου
γέλωτος ἄρξομαι. καὶ αὖθις ἐγέλα ἐπὶ πολύ, ὥστε καὶ ἡμῶν
8 τοὺς πολλοὺς ἐπὶ τὸ ὅμοιον ἐπεσπάσατο. εἶτα ἐπιστρέψας
ἑαυτόν, Ἢ τί γὰρ ἄλλο, ἔφη, ὦ ἄνδρες, χρὴ ποιεῖν ἀκού-
οντα μὲν οὕτω γελοίων ῥήσεων, ὁρῶντα δὲ ἄνδρας γέροντας
δοξαρίου καταπτύστου ἕνεκα μονονουχὶ κυβιστῶντας ἐν τῷ
μέσῳ; ὡς δὲ εἰδείητε οἷόν τι τὸ ἄγαλμά ἐστι τὸ καυθησό-
μενον, ἀκούσατέ μου ἐξ ἀρχῆς παραφυλάξαντος τὴν γνώμην
αὐτοῦ καὶ τὸν βίον ἐπιτηρήσαντος· ἔνια δὲ παρὰ τῶν πολι-
τῶν αὐτοῦ ἐπυνθανόμην καὶ οἷς ἀνάγκη ἦν ἀκριβῶς εἰδέναι
9 αὐτόν. τὸ γὰρ τῆς φύσεως τοῦτο πλάσμα καὶ δημιούργημα,
ὁ τοῦ Πολυκλείτου κανών, ἐπεὶ εἰς ἄνδρας τελεῖν ἤρξατο,
ἐν Ἀρμενίᾳ μοιχεύων ἁλοὺς μάλα πολλὰς πληγὰς ἔλαβε
καὶ τέλος κατὰ τοῦ τέγους ἁλόμενος διέφυγε ῥαφανῖδι τὴν
πυγὴν βεβυσμένος· εἶτα μειράκιόν τι ὡραῖον διαφθείρας

7. **ἄλλος**: probably Lucian himself; see note § 2. — **τῶν σπονδῶν**: cf. *Il.* 11, 775 *σπένδων αἴθοπα οἶνον ἐπ' αἰθομένοις ἱεροῖσι.* Only, instead of sparkling wine, Lucian throws on cold water. — **νειόθεν**: again Homeric reminiscence, cf. *Il.* 10, 10 *ἀνεστενάχιζε νειόθεν ἐκ κραδίης.* — **τὰ Ἡρακλείτου . . . Δημοκρίτου**: for the conventional contrast see *Vit. Auct.* 13. — **καὶ αὖθις ἐγέλα**: *and he went on laughing afresh.*

8. **ἐπιστρέψας**: *facing* (*us*) *again.* He had turned away to laugh. — **δοξαρίου**: *a little grain of glory.* Diminutive of contempt. Cf. Lat. gloriola. — **εἰδείητε**: for mood see Introd. 35 (*a*).

9. **ὁ τοῦ Πολυκλείτου κανών**: among the various extant copies of this famous "Doryphorus" of Polycleitus, the marble torso in Berlin (see Fr. Wolters, *Bausteine . . . der griech-rom. Plastik*, 507) gives a higher idea of the original than even the very perfectly preserved statue in the Naples Museum. See discussion of this passage in Blümner's *Arch. Studien*, pp. 22, 23. — **εἰς ἄνδρας τελεῖν**: *to come to man's estate.* — **κατὰ τοῦ τέγους**: *down from the roof.* — **ῥαφανῖδι** *κτλ.*: supplicium deprehensorum in adulterio. —

τρισχιλίων ἐξωνήσατο παρὰ τῶν γονέων τοῦ παιδὸς πενήτων
10 *ὄντων μὴ ἐπὶ τὸν ἁρμοστὴν ἀπαχθῆναι τῆς Ἀσίας. ταῦτα*
καὶ τὰ τοιαῦτα ἐάσειν μοι δοκῶ· πηλὸς γὰρ ἔτι ἄπλαστος
ἦν καὶ οὐδέπω ἐντελὲς ἄγαλμα ἡμῖν ἐδεδημιούργητο. ἃ δὲ
τὸν πατέρα ἔδρασε καὶ πάνυ ἀκοῦσαι ἄξιον· καίτοι πάντες
ἴστε καὶ ἀκηκόατε ὡς ἀπέπνιξε τὸν γέροντα οὐκ ἀνασχό-
μενος αὐτὸν ὑπὲρ ἑξήκοντα ἔτη ἤδη γηρῶντα. εἶτα ἐπειδὴ
τὸ πρᾶγμα διεβεβόητο, φυγὴν ἑαυτοῦ καταδικάσας ἐπλανᾶτο
11 *ἄλλοτε ἄλλην ἀμείβων. ὅτεπερ καὶ τὴν θαυμαστὴν σοφίαν*
τῶν Χριστιανῶν ἐξέμαθε περὶ τὴν Παλαιστίνην τοῖς ἱερεῦσι
καὶ γραμματεῦσιν αὐτῶν ξυγγενόμενος. καὶ τί γάρ; ἐν βρα-
χεῖ παῖδας αὐτοὺς ἀπέφηνε προφήτης καὶ θιασάρχης καὶ
ξυναγωγεὺς καὶ πάντα μόνος αὐτὸς ὤν· καὶ τῶν βίβλων τὰς

τρισχιλίων: sc. *δραχμῶν*. — **ἐξωνήσατο**: for form see Introd. 19. — **τὸν ἁρμοστήν**: *governor of the province.* This Spartan term was used to represent various Roman officers, e.g. the Triumvirs and the praefecti, as governors of dependent provinces. — **τῆς Ἀσίας**: the Roman province.

10. **ἐδεδημιούργητο**: *had been fabricated in detail;* cf. below *διεβεβόητο*, *had become matter of common report.* Introd. 34 (*a*). — **ἄλλην**: sc. *γῆν*.

11. **Χριστιανῶν**: see Introd. p. xv, and Introd. to *Peregr.* p. 205. — **ἐξέμαθε**: *he had become an expert in.* — **Παλαιστίνην**: although Lucian's Syrian birthplace was far north of Palestine, yet during his stay in Antioch (Introd. p. x) he must certainly have gained some knowledge of the Christians. — **ἱερεῦσι καὶ γραμματεῦσιν**: *priests and scribes,* probably confusing Jews and Christians. — **ξυγγενόμενος**: almost technical, like *συνεῖναι*, of a pupil attending the discourses of a master or the lectures of a sophist. — **προφήτης**: from the earlier and more usual classic meaning *interpreter* (cf. also Exod. 7, 1) the word comes naturally to mean *prophet*, particularly in the LXX and in the New Testament (cf. Thayer's N.T. Lex. s.v.). That the Christians were much exploited by *χριστέμποροι* is illustrated by the directions given in *The Teaching of the Apostles* (see pp. 7 and 8 ed. J. R. Harris, Baltimore 1887): a *προφήτης* or *ἀπόστολος* is to be welcomed for the day; only necessity may detain him during the second day; *τρεῖς δὲ ἐὰν μείνῃ ψευδοπροφήτης ἐστί*. — **θιασάρχης**: *thiasos-leader.* The *θίασος* was a band marching with dancing and singing, especially in honor of Dionysus. Sometimes it was a religious brotherhood. The leaders were called *ἀρχιθιασῖται*, and the followers *θιασῶται* (cf. *Fugit.* 4). Lucian seems to be responsible for this compound. — **ξυναγωγεύς**: a good Greek

μὲν ἐξηγεῖτο καὶ διεσάφει, πολλὰς δὲ καὶ αὐτὸς ξυνέγραφε,
καὶ ὡς θεὸν αὐτὸν ἐκεῖνοι ἡγοῦντο καὶ νομοθέτῃ ἐχρῶντο καὶ
προστάτην ἐπεγράφοντο· τὸν μέγαν γοῦν ἐκεῖνον ἔτι σέβουσι
τὸν ἄνθρωπον τὸν ἐν τῇ Παλαιστίνῃ ἀνασκολοπισθέντα, ὅτι
12 καινὴν ταύτην τελετὴν εἰσῆγεν ἐς τὸν βίον. τότε δὴ καὶ
συλληφθεὶς ἐπὶ τούτῳ ὁ Πρωτεὺς ἐνέπεσεν εἰς τὸ δεσμωτή-
ριον, ὅπερ καὶ αὐτὸ οὐ μικρὸν αὐτῷ ἀξίωμα περιεποίησε
πρὸς τὸν ἑξῆς βίον καὶ τὴν τερατείαν καὶ δοξοκοπίαν ὧν
ἐρῶν ἐτύγχανεν. ἐπεὶ δ' οὖν ἐδέδετο, οἱ Χριστιανοὶ συμφο-
ρὰν ποιούμενοι τὸ πρᾶγμα πάντα ἐκίνουν ἐξαρπάσαι πειρώ-
μενοι αὐτόν. εἶτ' ἐπεὶ τοῦτο ἦν ἀδύνατον, ἥ γε ἄλλη θεραπεία
πᾶσα οὐ παρέργως, ἀλλὰ σὺν σπουδῇ ἐγίγνετο· καὶ ἕωθεν
μὲν εὐθὺς ἦν ὁρᾶν παρὰ τῷ δεσμωτηρίῳ περιμένοντα γρᾴδια

word (cf. Lys. 12, 43), here transferred to the Jewish meaning. — **ἐξηγεῖτο**: *he expounded.* Primarily used of *verbal* interpretation; cf. *ἐξηγητής*. — **διεσάφει**: *made clear;* or, if written commentary is meant, *annotated.* — **πολλὰς . . . ξυνέγραφε**: many apocryphal writings did not become canonical, and this statement may not be wholly an invention of Lucian's. — **νομοθέτῃ**: *lawgiver.* Again a classic word with both a general and a technical meaning. — **προστάτην**: *protector, patron.* De Soul (see Reitz. ad loc.) says: Apud Cyrillum Cat. 6 Petrus et Paullus *τῆς Ἐκκλησίας προστάται* dicuntur. See Thayer's N.T. Lex. s.v. *προστάτις*. — **ἐπεγράφοντο**: see App., and, for mid. voice, cf. *Scytha* 10 *ἐπιγραψάμενος προστάτας*, and *Fugit.* 4 *τοὔνομα τὸ ἡμέτερον ἐπιγράφονται*, also Just. Mart. *Apol.* A 4, 28 *φιλοσοφίας ὄνομα καὶ σχῆμα ἐπιγράφονταί τινες*. — **τὸν μέγαν**: there is much to be said for the emendation *μάγον* (see App.); the *μάγοι* not only took themselves seriously but were quoted as authorities. Cf. Just. Mart. *Apol.* A 18, 9. — **τὸν ἄνθρωπον κτλ.**: *the man, I mean, who was,* etc. The clause is explanatory. — **ἀνασκολοπισθέντα**: *crucified.* The first meaning is *impale,* but see *Jud. Vocal.* 12 where it is used of the T cross; see also s.v. *ἀνασταυρῶ*. — **καινὴν τελετήν**: *new-fangled religion;* properly *mystic rite.* Cf. note on § 28. — **εἰσῆγεν**: the imperfect refers to *ἀνασκολοπισθέντα*, see App.

12. **πάντα ἐκίνουν**: perhaps sc. *κάλων* (*rope*); cf. *Alex.* 57 *πάντα κάλων ἐκίνουν ἀμύνασθαι βουλόμενος*. So *Scytha* 11 *πάντα μὲν κάλων κινεῖν, πάντα δὲ πράττειν καὶ λέγειν*. The equivalent of the English proverb "Leave no stone unturned" — *πάντα λίθον κινεῖν* — occurs, but usually to indicate the precaution of turning up stones to look for scorpions, though sometimes in this same sense; cf. Fritzsche ad loc. — **ἦν ὁρᾶν**: tr. *there were to be seen.* Cf. Germ. *es war zu sehen.* — **παρὰ τῷ δεσμωτηρίῳ**:

χήρας τινὰς καὶ παιδία ὀρφανά, οἱ δὲ ἐν τέλει αὐτῶν καὶ συνεκάθευδον ἔνδον μετ᾽ αὐτοῦ διαφθείραντες τοὺς δεσμοφύλακας· εἶτα δεῖπνα ποικίλα εἰσεκομίζετο καὶ λόγοι ἱεροὶ αὐτῶν ἐλέγοντο καὶ ὁ βέλτιστος Περεγρῖνος — ἔτι γὰρ τοῦτο
13 ἐκαλεῖτο — καινὸς Σωκράτης ὑπ᾽ αὐτῶν ὠνομάζετο. καὶ μὴν κἀκ τῶν ἐν Ἀσίᾳ πόλεων ἔστιν ὧν ἧκόν τινες, τῶν Χριστιανῶν στελλόντων ἀπὸ τοῦ κοινοῦ, βοηθήσοντες καὶ ξυναγορεύσοντες καὶ παραμυθησόμενοι τὸν ἄνδρα. ἀμήχανον δέ τι τὸ τάχος ἐπιδείκνυνται, ἐπειδάν τι τοιοῦτον γένηται δημόσιον· ἐν βραχεῖ γὰρ ἀφειδοῦσι πάντων. καὶ δὴ καὶ τῷ Περεγρίνῳ πολλὰ τότε ἧκε χρήματα παρ᾽ αὐτῶν ἐπὶ προφάσει τῶν δεσμῶν καὶ πρόσοδον οὐ μικρὰν ταύτην ἐποιήσατο· πεπείκασι γὰρ αὑτοὺς οἱ κακοδαίμονες τὸ μὲν ὅλον ἀθάνατοι ἔσεσθαι καὶ βιώσεσθαι τὸν ἀεὶ χρόνον, παρ᾽ ὃ καὶ καταφρονοῦσι τοῦ θανάτου καὶ ἑκόντες αὑτοὺς ἐπιδιδόασιν οἱ πολλοί· ἔπειτα δὲ ὁ νομοθέτης ὁ πρῶτος ἔπεισεν αὐτοὺς ὡς ἀδελφοὶ πάντες εἶεν

this use of *παρά* with dat. of places is poetic. — **χήρας**: this perhaps reflects the care of the early church for widows and orphans. Cf. Acts 6, 1. — **οἱ δὲ ἐν τέλει**: *the* (*church*) *officials*. See L. & S. s.v. for the meaning *magistrates*. — **διαφθείραντες**: *after bribing*. So Crito (Plato *Crito* 1) admits that he has "tipped" the prison warden. — **δεῖπνα ποικίλα**: in antithesis to the plain prison fare (cf. the sauces, pastry, and blood-puddings, *παρεσκεύαστο ποικίλα* in *Symp.* 11), but also, doubtless, a careless allusion to the Christian *ἀγάπαι*, see Thayer's N.T. Lex. s.v. — **καινὸς Σωκράτης**: *a new* (or, *a second*) *Socrates*. Justin Martyr shocked his church contemporaries by his Christian liberality in recognizing Socrates and others as proleptic Christians (cf. Gildersleeve on *Apol.* A 46): *καὶ οἱ μετὰ λόγου βιώσαντες Χριστιανοί εἰσι, κἂν ἄθεοι ἐνομίσθησαν, οἷον ἐν Ἕλλησι μὲν Σωκράτης καὶ Ἡράκλειτος καὶ οἱ ὅμοιοι αὐτοῖς, ἐν βαρβάροις δὲ Ἀβραὰμ καὶ Ἀνανίας* (Shadrach) *καὶ Ἀζαρίας* (Abednego) *καὶ Μισαὴλ* (Meshach) *καὶ Ἠλίας καὶ ἄλλοι πολλοί.*

13. ἀπὸ τοῦ κοινοῦ: *from their common fund*. Cf. Acts 2, 44; 4, 32; 11, 29, and Just. Mart. *Apol.* A 14 *ἃ ἔχομεν εἰς κοινὸν φέροντες καὶ παντὶ δεομένῳ κοινωνοῦντες.* — **ἐπὶ προφάσει**: *on the score of*. — **τὸ μὲν ὅλον**: *in general*. — **ἀθάνατοι**: see note on *Vit. Auct.* 5 and Introd. to *Peregr.*, p. 205. — **ὁ νομοθέτης ὁ πρῶτος**: i.e. Christ (not Moses or Saint Paul, as has been suggested; see Reitz. ad loc.). The words just below, *κατὰ τοὺς ἐκείνου νόμους*, make this clear, and *ἀδελφοὶ πάντες εἶεν* is

ἀλλήλων. ἐπειδὰν ἅπαξ παραβάντες θεοὺς μὲν τοὺς Ἑλληνι-
κοὺς ἀπαρνήσωνται, τὸν δὲ ἀνεσκολοπισμένον ἐκεῖνον σοφι-
στὴν αὐτὸν προσκυνῶσι καὶ κατὰ τοὺς ἐκείνου νόμους βιῶσι.
καταφρονοῦσιν οὖν ἁπάντων ἐξ ἴσης καὶ κοινὰ ἡγοῦνται ἄνευ
τινὸς ἀκριβοῦς πίστεως τὰ τοιαῦτα παραδεξάμενοι. ἢν τοίνυν
παρέλθῃ τις εἰς αὐτοὺς γόης καὶ τεχνίτης ἄνθρωπος καὶ πρά-
γμασι χρῆσθαι δυνάμενος, αὐτίκα μάλα πλούσιος ἐν βραχεῖ
14 ἐγένετο ἰδιώταις ἀνθρώποις ἐγχανών. πλὴν ἀλλ' ὁ Περεγρῖ-
νος ἀφείθη ὑπὸ τοῦ τότε τῆς Συρίας ἄρχοντος, ἀνδρὸς φιλοσο-
φίᾳ χαίροντος, ὃς συνεὶς τὴν ἀπόνοιαν αὐτοῦ καὶ ὅτι δέξαιτ'
ἂν ἀποθανεῖν, ὡς δόξαν ἐπὶ τούτῳ ἀπολίποι, ἀφῆκεν αὐτὸν
οὐδὲ τῆς κολάσεως ὑπολαβὼν ἄξιον. ὁ δὲ εἰς τὴν οἰκείαν
ἐπανελθὼν καταλαμβάνει τὸ περὶ τοῦ πατρῴου φόνου ἔτι φλε-
γμαῖνον καὶ πολλοὺς τοὺς ἐπανατεινομένους τὴν κατηγορίαν.
διήρπαστο δὲ τὰ πλεῖστα τῶν κτημάτων παρὰ τὴν ἀποδημίαν
αὐτοῦ καὶ μόνοι ὑπελείποντο οἱ ἀγροὶ ὅσον εἰς πεντεκαί-
δεκα τάλαντα· ἦν γὰρ ἡ πᾶσα οὐσία τριάκοντά που ταλάν-
των ἀξία ἣν ὁ γέρων κατέλιπεν, οὐχ ὥσπερ ὁ παγγέλοιος

certainly in the spirit of S. Matt. 23, 8. — **παραβάντες**: *transgressing*, sc. τοὺς νόμους. So in Aesch. *Agam.* 59 ὁ παραβάς *the transgressor* is used absolutely. — **ἀπαρνήσωνται**: the God of the Jews and the Christians alike was a "jealous God" and could not share in any polytheistic beliefs. The Romans could welcome any new cult to their Pantheon, but this monotheism could not itself tolerate the established polytheism. See Introd. p. viii. — **τὸν ἀνεσκολοπισμένον ἐκεῖνον σοφιστὴν αὐτόν**: *that crucified sophist himself.* The term "sophist," which had fallen into bad odor, was somewhat reinstated in honor by the Professors of Rhetoric. Lucian seems generally to give it a good meaning, but in § 32 uses it in a contemptuous reference to Peregrinus himself. Cf. Bernays, *Lucian und die Kyniker*, p. 109, note to c. 13. — **κοινά**: see above ἀπὸ τοῦ κοινοῦ. — **πίστεως**: *proof*; if we had the present tense παραδεχόμενοι, *pledge* would give an easier meaning.

14. **πλὴν ἀλλ'**: see Introd. 24 (*a*). — **τῆς κολάσεως**: *the usual chastisement.* Note the article; whether the prisoner was released or executed, scourging might be in order under the Romans. Cf. S. Luke 23, 16 and 22, with S. Mark 15, 15. — **παρὰ τὴν ἀποδημίαν**: for prep. see note on § 2. — **οἱ ἀγροί**: his *real estate* as distinguished from κτήματα above. — **ὥσπερ . . . ἔλεγε**:

Θεαγένης ἔλεγε πεντακισχιλίων· τοσούτου γὰρ οὐδὲ ἡ πᾶσα τῶν Παριανῶν πόλις πέντε σὺν αὐτῇ τὰς γειτνιώσας παραλαβοῦσα πραθείη ἂν αὐτοῖς ἀνθρώποις καὶ βοσκήμασι καὶ

15 τῇ λοιπῇ παρασκευῇ. ἀλλ᾽ ἔτι γε ἡ κατηγορία καὶ τὸ ἔγκλημα θερμὸν ἦν, καὶ ἐῴκει οὐκ εἰς μακρὰν ἐπαναστήσεσθαί τις αὐτῷ, καὶ μάλιστα ὁ δῆμος αὐτὸς ἠγανάκτει χρηστόν, ὡς ἔφασαν οἱ ἰδόντες, γέροντα πενθοῦντες οὕτως ἀσεβῶς ἀπολωλότα. ὁ δὲ σοφὸς οὗτος Πρωτεὺς πρὸς ἅπαντα ταῦτα σκέψασθε οἷόν τι ἐξεῦρε καὶ ὅπως τὸν κίνδυνον διέφυγε· παρελθὼν γὰρ εἰς τὴν ἐκκλησίαν τῶν Παριανῶν — ἐκόμα δὲ ἤδη καὶ τρίβωνα πιναρὸν ἠμπείχετο καὶ πήραν παρήρτητο καὶ τὸ ξύλον ἐν τῇ χειρὶ ἦν καὶ ὅλος μάλα τραγικῶς ἐσκεύαστο — τοιοῦτος οὖν ἐπιφανεὶς αὐτοῖς ἀφεῖναι ἔφη τὴν οὐσίαν, ἣν ὁ μακαρίτης πατὴρ αὐτῷ κατέλιπε, δημοσίαν εἶναι πᾶσαν. τοῦτο ὡς ἤκουσεν ὁ δῆμος πένητες ἄνθρωποι καὶ πρὸς διανομὰς κεχηνότες, ἀνέκραγον εὐθὺς ἕνα φιλόσοφον, ἕνα φιλόπατριν, ἕνα Διογένους καὶ Κράτητος ζηλωτήν. οἱ δὲ ἐχθροὶ ἐπεφίμωντο, κἂν εἴ τις ἐπιχειρήσειε μεμνῆσθαι τοῦ

see § 4. — **τῶν Παριανῶν**: Peregrinus was born at Parium on the Hellespont. — **αὐτοῖς ἀνθρώποις** κτλ.: *men, cattle, and all.*

15. ἐκόμα: *he had a crop of long hair.* The same expression, κομῶν ἤδη, is used (*Alex.* 11) of the charlatan Alexander, and the Cynic Maximus in the fourth century could join the Christians without laying aside his Cynic's garb. His long hair was not shorn until he was made bishop of Constantinople. Cf. Bernays, op. cit., p. 37, and St. Chrys. *Homil.* 26 on 1 Cor. 11, 14. — **τρίβωνα**: the Cynic's *old cloak*, the wallet (ἡ πήρα), the Heracles club, and the bead constantly recur. Cf. § 24. — **πιναρόν**: *rusty; squalid.* The noun is used of antique bronzes: πίνος ὁ τῆς ἀρχαιότητος. — **τὸ ξύλον**: *the* (conventional Heracles) *club.* In *Catapl.* 4 the Cynic is designated as ὁ τὸ ξύλον. — **ὁ μακαρίτης πατήρ**: *his father of blessed memory.* Cf. *D. Meretr.* 6, 1, where the mother says to her daughter: ἀλλὰ δύο ἔτη ταῦτα ἐξ οὗ τέθνηκεν ὁ μακαρίτης σου πατήρ, οὐκ οἶσθα ὅπως ἀπεζήσαμεν; cf. also *Philops.* 27. — **πρὸς διανομὰς κεχηνότες**: *agape for largesses.* — **φιλόπατριν**: *patriot.* The spurious dialogue with this title, included among Lucian's writings and containing references to the Christian religion, is of much later date. — **ἐπεφίμωντο**: *were muzzled.* Cf. S. Mark 1, 25 and 4, 39 σιώπα, πεφίμωσο, and note to *Vit. Auct.*

16 φόνου, λίθοις εὐθὺς ἐβάλλετο. ἐξῄει οὖν τὸ δεύτερον πλανησόμενος, ἱκανὰ ἐφόδια τοὺς Χριστιανοὺς ἔχων, ὑφ᾽ ὧν δορυφορούμενος ἐν ἅπασιν ἀφθόνοις ἦν. καὶ χρόνον μέν τινα οὕτως ἐβόσκετο· εἶτα παρανομήσας τι καὶ ἐς ἐκείνους — ὤφθη γάρ τι, ὡς οἶμαι, ἐσθίων τῶν ἀπορρήτων αὐτοῖς — οὐκέτι προσιεμένων αὐτῶν ἀπορούμενος ἐκ παλινῳδίας ἀπαιτεῖν ᾤετο δεῖν παρὰ τῆς πόλεως τὰ κτήματα, καὶ γραμματεῖον ἐπιδοὺς ἠξίου ταῦτα κομίσασθαι κελεύσαντος βασιλέως. εἶτα τῆς πόλεως ἀντιπρεσβευσαμένης οὐδὲν ἐπράχθη, ἀλλ᾽ ἐμμένειν ἐκελεύσθη οἷς ἅπαξ διέγνω μηδενὸς καταναγκάσαν-

17 τος. τρίτη ἐπὶ τούτοις ἀποδημία εἰς Αἴγυπτον παρὰ τὸν Ἀγαθόβουλον, ἵναπερ τὴν θαυμαστὴν ἄσκησιν διησκεῖτο, ξυρόμενος μὲν τῆς κεφαλῆς τὸ ἥμισυ, χριόμενος δὲ πηλῷ τὸ πρόσωπον, ἐν πολλῷ δὲ τῶν περιεστώτων δήμῳ ἀναφλῶν τὸ αἰδοῖον καὶ τὸ ἀδιάφορον δὴ τοῦτο καλούμενον ἐπιδεικνύμενος, εἶτα παίων καὶ παιόμενος νάρθηκι εἰς τὰς πυγὰς καὶ

18 ἄλλα πολλὰ νεανικώτερα θαυματοποιῶν. ἐκεῖθεν δὲ οὕτω παρεσκευασμένος ἐπὶ Ἰταλίαν ἔπλευσε καὶ ἀποβὰς τῆς νεὼς εὐθὺς ἐλοιδορεῖτο πᾶσι καὶ μάλιστα τῷ βασιλεῖ πρᾳότατον

22. — **λίθοις . . . ἐβάλλετο**: cf. *Pisc.* 1 *βάλλε βάλλε τὸν κατάρατον ἀφθόνοις τοῖς λίθοις.*

16. **ἐβόσκετο**: *lived in clover.* — **ἐσθίων τῶν ἀπορρήτων**: perhaps "meat offered to idols," see Thayer, N.T. Lex., s.v. *εἰδωλόθυτος*, and Smith & Cheetham, *Dict. Christian Antiq.*, s.v. "Idolatry"; perhaps a confusion of Christian with Jewish customs. — **γραμματεῖον ἐπιδούς**: *handing in a brief.* — **κελεύσαντος βασιλέως**: *with the Emperor's sanction.* *βασιλεύς* is regularly used of the Roman emperors; cf. Gildersleeve on Just. Mart. *Apol.* A 14, 25. — **μηδενός**: cf. Introd. 39 (*e*).

17. **Ἀγαθόβουλον**: perhaps this same man is the one mentioned (*Demonax* 3), along with Demetrius and Epictetus, as a teacher of Demonax. — **διησκεῖτο**: *he went into training in.* See note on *Vit. Auct.* 9, and see App. — **ξυρόμενος . . . ἥμισυ**: the fool and the philosopher go shares. — **ἀδιάφορον**: a stock term, see on *Vit. Auct.* 21; *Pisc.* 35, and cf. Gildersleeve, op. cit., B 3, 26. — **παίων καὶ παιόμενος**: used of the boxing match between the Cynic and the clown, *Symp.* 19, *φιλόσοφος ἀνὴρ γελωτοποιῷ ἀνταιρόμενος καὶ παίων καὶ παιόμενος ἐν τῷ μέρει.*

18. **τῷ βασιλεῖ**: probably Antoninus Pius, whom Marcus Aurelius succeeded

αὐτὸν καὶ ἡμερώτατον εἰδώς, ὥστε ἀσφαλῶς ἐτόλμα· ἐκείνῳ γάρ, ὡς εἰκός, ὀλίγον ἔμελε τῶν βλασφημιῶν καὶ οὐκ ἠξίου τὴν φιλοσοφίαν ὑποδυόμενόν τινα κολάζειν ἐπὶ ῥήμασι καὶ μάλιστα τέχνην τινὰ τὸ λοιδορεῖσθαι πεποιημένον. τούτῳ δὲ καὶ ἀπὸ τούτων τὰ τῆς δόξης ηὐξάνετο· παρὰ γοῦν τοῖς ἰδιώταις καὶ περίβλεπτος ἦν ἐπὶ τῇ ἀπονοίᾳ, μέχρι δὴ ὁ τὴν πόλιν ἐπιτετραμμένος ἀνὴρ σοφὸς ἀπέπεμψεν αὐτὸν ἀμέτρως ἐντρυφῶντα τῷ πράγματι, εἰπὼν μὴ δεῖσθαι τὴν πόλιν τοιούτου φιλοσόφου. πλὴν ἀλλὰ καὶ τοῦτο κλεινὸν αὐτοῦ καὶ διὰ στόματος ἦν ἅπασιν, ὁ φιλόσοφος διὰ τὴν παρρησίαν καὶ τὴν ἄγαν ἐλευθερίαν ἐξελαθείς· καὶ προσήλαυνε κατὰ τοῦτο τῷ Μουσωνίῳ καὶ Δίωνι καὶ Ἐπικτήτῳ καὶ εἴ τις ἄλλος ἐν
19 περιστάσει τοιαύτῃ ἐγένετο. οὕτω δὴ ἐπὶ τὴν Ἑλλάδα ἐλθὼν ἄρτι μὲν Ἠλείοις ἐλοιδορεῖτο, ἄρτι δὲ τοὺς Ἕλληνας ἔπειθεν ἀντάρασθαι ὅπλα Ῥωμαίοις, ἄρτι δὲ ἄνδρα παιδείᾳ

in 161 A.D. From § 20 we learn that at least two Olympiads passed before the death of Peregrinus, so that even if we accept 169 and not 165 A.D. for the final scene he may have left Italy before the accession of Marcus Aurelius. See Introd. 3, and Introd. to *Peregr* p. 206. — **τέχνην . . . πεποιημένον**: *had made billingsgate into a regular profession.* — **ὁ τὴν πόλιν ἐπιτετραμμένος**: the praefectus urbi at Rome had absorbed the functions of the praetor urbanus. — **εἰπὼν μὴ δεῖσθαι**: a double solecism for *εἰπὼν ὅτι οὐ δεῖται*. See note on *φησὶν ὅτι* § 23, and for neg. see Introd. 39 (*a*). — **διὰ στόματος ἦν ἅπασιν**: *was on everybody's lips.* — **διὰ τὴν παρρησίαν καὶ τὴν ἄγαν ἐλευθερίαν**: These were the pre-eminent virtues which the Cynics were wont to arrogate to themselves. And it is to be noted that these qualities were Lucian's chosen virtues. Cf. *Pisc.* 19 where his incognito is *Παρρησιάδης Ἀληθίωνος*, and in § 17 *Ἐλευθερία* and *Παρρησία* are handmaidens of Truth, who at once declares herself as on Lucian's side. — **Μουσωνίῳ**: C. Musonius Rufus, a Stoic philosopher banished by Nero to Gyaros in 66 A.D. He was afterwards tolerated by Vespasian when the other philosophers were exiled. — **Δίωνι**: Dion Chrysostomus, banished by Domitian. He returned under Nerva. — **Ἐπικτήτῳ**: Epictetus, won over to Stoicism by C. Musonius Rufus, was expelled with other philosophers by Domitian.

19. **ἔπειθεν**: suadebat. — **ἄνδρα κτλ.**: Herodes Atticus, or Tiberius Claudius Atticus Herodes, was a rich Athenian gentleman, a close contemporary of Lucian, famous alike as a rhetorician and as a liberal benefactor of his fellow Greeks. Although we

καὶ ἀξιώματι προὔχοντα, διότι καὶ ἐν τοῖς ἄλλοις εὖ ἐποίησε τὴν Ἑλλάδα καὶ ὕδωρ ἐπήγαγε τῇ Ὀλυμπίᾳ καὶ ἔπαυσε δίψει ἀπολλυμένους τοὺς πανηγυριστάς, κακῶς ἠγόρευεν ὡς καταθηλύναντα τοὺς Ἕλληνας, δέον τοὺς θεατὰς τῶν Ὀλυμπίων διακαρτερεῖν διψῶντας καὶ νὴ Δία γε καὶ ἀποθνῄσκειν πολλοὺς αὐτῶν ὑπὸ σφοδρῶν τῶν νόσων, αἳ τέως διὰ τὸ ξηρὸν τοῦ χωρίου ἐν πολλῷ τῷ πλήθει ἐπεπόλαζον· καὶ ταῦτα ἔλεγε πίνων τοῦ αὐτοῦ ὕδατος. ὡς δὲ μικροῦ κατέλευσαν αὐτὸν ἐπιδραμόντες ἅπαντες, τότε μὲν ἐπὶ τὸν Δία

20 *καταφυγὼν ὁ γενναῖος εὕρετο μὴ ἀποθανεῖν. ἐς δὲ τὴν ἑξῆς Ὀλυμπιάδα λόγον τινὰ διὰ τεττάρων ἐτῶν συνθεὶς τῶν διὰ μέσου ἐξήνεγκε πρὸς τοὺς Ἕλληνας ἔπαινον ὑπὲρ τοῦ τὸ ὕδωρ ἐπαγαγόντος καὶ ἀπολογίαν ὑπὲρ τῆς τότε φυγῆς. ἤδη δὲ ἀμελούμενος ὑφ᾽ ἁπάντων καὶ μηκέθ᾽ ὁμοίως περίβλεπτος ὢν — ἕωλα γὰρ ἦν ἅπαντα καὶ οὐδὲν ἔτι καινουργεῖν ἐδύνατο, ἐφ᾽ ὅτῳ ἐκπλήξει τοὺς ἐντυγχάνοντας καὶ θαυμάζειν καὶ πρὸς αὑτὸν ἀποβλέπειν ποιήσει, οὗπερ ἐξ ἀρχῆς δριμύν τινα ἔρωτα ἐρῶν ἐτύγχανε — τὸ τελευταῖον τοῦτο τόλμημα ἐβουλεύσατο τὸ περὶ τῆς πυρᾶς, καὶ διέδωκε λόγον ἐς τοὺς Ἕλληνας εὐθὺς*

may sometimes be inclined to criticize his overlaying of antique monuments with marble, and the emphasis laid upon beauty of material, yet his benefactions were conspicuous. For his various public works see Baedeker's *Greece*, pp. 42 and 53, and especially Chabert, *L'Atticisme de Lucien*, pp. 25–27. The favor of the Roman emperor and jealousy of his great wealth raised him up enemies, so that he finally retired from Athens and died (ca. 180 A.D.) at his villa near Marathon, his birthplace. — **ὕδωρ ἐπήγαγε τῇ Ὀλυμπίᾳ**: considerable remains of this aqueduct were excavated at and near Olympia; e.g. a pillar near the waters of the spring some two miles away from the Altis, the tunnel under Mount Cronius, and the Exedra itself with its marble rotundas on each side of the semicircular tank. For full description of the statues etc. see Frazer's *Pausanias*, IV, pp. 72 ff. — **κακῶς ἠγόρευεν**: see account in Philostratus, Introd. to *Peregr.*, p. 202. — **τέως**: there had been other, but insufficient, aqueducts; see Frazer, l.c. — **εὕρετο**: see App.

20. **ἐξήνεγκε . . . ἔπαινον**: *he delivered a panegyric.* — **μηκέθ᾽**: for *οὐκέτι*. See Introd. 39 (*e*). — **καινουργεῖν**: *work up any novelty.* Cf. *Catapl.* 26 *τῶν*

ἀπ' Ὀλυμπίων τῶν ἔμπροσθεν ὡς ἐς τοὐπιὸν καύσων ἑαυτόν.
21 *καὶ νῦν αὐτὰ ταῦτα θαυματοποιεῖ, ὥς φασι, βόθρον ὀρύττων καὶ ξύλα συγκομίζων καὶ δεινήν τινα τὴν καρτερίαν ὑπισχνούμενος. ἐχρῆν δέ, οἶμαι, μάλιστα μὲν περιμένειν τὸν θάνατον καὶ μὴ δραπετεύειν ἐκ τοῦ βίου· εἰ δὲ καὶ πάντως διέγνωστό οἱ ἀπαλλάττεσθαι, μὴ πυρὶ μηδὲ τοῖς ἀπὸ τῆς τραγῳδίας τούτοις χρῆσθαι, ἀλλ' ἕτερόν τινα θανάτου τρόπον, μυρίων ὄντων, ἑλόμενον ἀπελθεῖν. εἰ δὲ καὶ τὸ πῦρ ὡς Ἡράκλειόν τι ἀσπάζεται, τί δή ποτε οὐχὶ κατὰ σιγὴν ἑλόμενος ὄρος εὔδενδρον ἐν ἐκείνῳ ἑαυτὸν ἐνέπρησε μόνος ἕνα τινὰ οἷον Θεαγένη τοῦτον Φιλοκτήτην παραλαβών; ὁ δὲ ἐν Ὀλυμπίᾳ τῆς πανηγύρεως πληθούσης μόνον οὐκ ἐπὶ σκηνῆς ὀπτήσει ἑαυτόν, οὐκ ἀνάξιος ὢν μὰ τὸν Ἡρακλέα, εἴ γε χρὴ καὶ τοὺς πατραλοίας καὶ τοὺς ἀθέους δίκας διδόναι τῶν τολμημάτων· καὶ κατὰ τοῦτο πάνυ ὀψὲ δρᾶν αὐτὸ ἔοικεν, ὃν ἐχρῆν πάλαι ἐς τὸν τοῦ Φαλάριδος ταῦρον ἐμπεσόντα τὴν ἀξίαν ἀποτετικέναι, ἀλλὰ μὴ ἅπαξ χανόντα πρὸς τὴν φλόγα ἐν ἀκαρεῖ τεθνάναι. καὶ γὰρ αὖ καὶ τόδε οἱ πολλοί μοι λέγουσιν, ὡς οὐδεὶς ὀξύτερος ἄλλος θανάτου τρόπος τοῦ διὰ πυρός· ἀνοῖξαι γὰρ δεῖν μόνον τὸ στόμα καὶ αὐτίκα τεθνά-*
22 *ναι. τὸ μέντοι θέαμα ἐπινοεῖται, οἶμαι, ὡς σεμνόν, ἐν ἱερῷ χωρίῳ καιόμενος ἄνθρωπος, ἔνθα μηδὲ θάπτειν ὅσιον τοὺς*

κολάσεων τὸ πρὸς ὠμότητα καινουργόν. — **ἐς τοὐπιόν**: *at the subsequent* (*one*).

21. **δραπετεύειν ἐκ τοῦ βίου**: runaway slaves were held in contempt. Cf. Plato *Crito* 52 D *ἅπερ ἂν δοῦλος φαυλότατος πράξειεν.* In the sequel to the *Peregrinus* the *Δραπέται* (see Introd. to *Peregr.*, p. 207) are runagate philosophers. — **διέγνωστό οἱ**: see Introd. 40 and Schmid, I, 228. — **Φιλοκτήτην**: *as his Philoctetes.* Cf. § 33. For a rehabilitation of the character of Theagenes see Bernays, op. cit., pp. 13 ff. — **μόνον οὐκ**: *all but.* — **ἀθέους**: a stock reproach. Cf. *Alex.* 38, where proclamation is made: *εἴ τις ἄθεος ἢ Χριστιανὸς ἢ Ἐπικούρειος ἥκει κατάσκοπος τῶν ὀργίων, φευγέτω.* See above, p. 206. — **τοῦ Φαλάριδος ταῦρον**: for the punishment of its inventor see *Phalar.* A 12. — **ἀποτετικέναι**: *to have paid off in full,* and *τεθνάναι*: *to be dead.* Cf. Introd. 34 (*a*).

22. **μηδέ**: cf. Introd. 39 (*d*). —

ἄλλους ἀποθνήσκοντας. ἀκούετε δέ, οἶμαι, ὥς καὶ πάλαι θέλων τις ἔνδοξος γενέσθαι, ἐπεὶ κατ᾽ ἄλλον τρόπον οὐκ εἶχεν ἐπιτυχεῖν τούτου, ἐνέπρησε τῆς Ἐφεσίας Ἀρτέμιδος τὸν νεών. τοιοῦτόν τι καὶ αὐτὸς ἐπινοεῖ, τοσοῦτος ἔρως τῆς

23 δόξης ἐντέτηκεν αὐτῷ. καίτοι φησὶν ὅτι ὑπὲρ τῶν ἀνθρώπων αὐτὸ δρᾷ, ὡς διδάξειεν αὐτοὺς θανάτου καταφρονεῖν καὶ ἐγκαρτερεῖν τοῖς δεινοῖς. ἐγὼ δὲ ἡδέως ἂν ἐροίμην οὐκ ἐκεῖνον ἀλλ᾽ ὑμᾶς, εἰ καὶ τοὺς κακούργους βούλοισθε ἂν μαθητὰς αὐτοῦ γενέσθαι τῆς καρτερίας ταύτης καὶ καταφρονεῖν θανάτου καὶ καύσεως καὶ τῶν τοιούτων δειμάτων. ἀλλ᾽ οὐκ ἂν εὖ οἶδ᾽ ὅτι βουληθείητε. πῶς οὖν ὁ Πρωτεὺς τοῦτο διακρινεῖ καὶ τοὺς μὲν χρηστοὺς ὠφελήσει, τοὺς δὲ πονηροὺς

24 οὐ φιλοκινδυνοτέρους καὶ τολμηροτέρους ἀποφανεῖ; καίτοι δυνατὸν ἔστω ἐς τοῦτο μόνους ἀπαντήσεσθαι τοὺς πρὸς τὸ ὠφέλιμον ὀψομένους τὸ πρᾶγμα. ὑμᾶς δ᾽ οὖν αὖθις ἐρήσομαι, δέξαισθ᾽ ἂν τοὺς παῖδας ὑμῶν ζηλωτὰς τοῦ τοιούτου γενέσθαι; οὐκ ἂν εἴποιτε. καίτοι τί τοῦτο ἠρόμην, ὅπου μηδ᾽ αὐτῶν τις τῶν μαθητῶν αὐτὸν ζηλώσειεν ἄν; τὸν οὖν Θεαγένη τοῦτο μάλιστα αἰτιάσαιτο ἄν τις, ὅτι τἆλλα ζηλῶν τἀνδρὸς οὐχ ἕπεται τῷ διδασκάλῳ καὶ συνοδεύει παρὰ τὸν Ἡρακλέα, ὥς φησιν, ἀπιόντι, δυνάμενος ἐν βραχεῖ πανευδαίμων γενέσθαι συνεμπεσὼν ἐπὶ κεφαλὴν ἐς τὸ πῦρ· οὐ γὰρ ἐν πήρᾳ καὶ βάκτρῳ καὶ τρίβωνι ὁ ζῆλος, ἀλλὰ ταῦτα

θέλων τις: i.e. Herostratus. See Class. Dict. s.v. — **ἐντέτηκεν αὐτῷ**: *has been welded to him*. Cf. Soph. *Elect.* 1311 μῖσος ἐντέτηκέ μοι, and Luc. *Gall.* 30, of a miser, διαγρύπνει καὶ ὅμοιος γίγνου τὸ χρῶμα τῷ χρυσῷ προστετηκὼς αὐτῷ.

23. φησὶν ὅτι: exceptions occur even in classic Greek to the use of the infinitive with φημί: e.g. for ὅτι Plato *Gorg.* 487 D; with ὡς Lys. 7, 19. Cf. Gildersleeve, Just. Mart. *Apol.* A 19, 18: "φημί is the most 'subjective' of the common verbs of saying, and in model Greek seldom takes anything but the inf. In this stage it is freely combined with ὅτι." Cf., per contra, § 18 for εἶπον with inf. — **διδάξειεν**: see Introd. 35 (*a*).

24. καίτοι δυνατὸν ἔστω: *and now, granted that it is possible*. See App. — **πρὸς τὸ ὠφέλιμον**: *in a salutary light*. — **ὅπου μηδ᾽**: see Introd. 39 (*d*). —

μὲν ἀσφαλῆ καὶ ῥᾴδια καὶ παντὸς ἂν εἴη, τὸ τέλος δὲ καὶ τὸ κεφάλαιον χρὴ ζηλοῦν καὶ πυρὰν συνθέντα κορμῶν συκίνων ὡς ἔνι μάλιστα χλωρῶν ἐναποπνιγῆναι τῷ καπνῷ· τὸ πῦρ γὰρ αὐτὸ οὐ μόνον Ἡρακλέους καὶ Ἀσκληπιοῦ, ἀλλὰ καὶ τῶν ἱεροσύλων καὶ ἀνδροφόνων, οὓς ὁρᾶν ἔστιν ἐκ καταδίκης αὐτὸ πάσχοντας. ὥστε ἄμεινον τὸ διὰ τοῦ καπνοῦ· ἴδιον
25 γὰρ καὶ ὑμῶν ἂν μόνων γένοιτο. ἄλλως τε ὁ μὲν Ἡρακλῆς, εἴπερ ἄρα καὶ ἐτόλμησέ τι τοιοῦτον, ὑπὸ νόσου αὐτὸ ἔδρασεν ὑπὸ τοῦ Κενταυρείου αἵματος, ὥς φησιν ἡ τραγῳδία, κατεσθιόμενος. οὗτος δὲ τίνος αἰτίας ἕνεκεν ἐμβάλλει φέρων ἑαυτὸν εἰς τὸ πῦρ; νὴ Δί', ὅπως τὴν καρτερίαν ἐπιδείξηται καθάπερ οἱ Βραχμᾶνες· ἐκείνοις γὰρ αὐτὸν ἠξίου Θεαγένης εἰκάζειν, ὥσπερ οὐκ ἐνὸν εἶναί τινας καὶ ἐν Ἰνδοῖς μωροὺς καὶ κενοδόξους ἀνθρώπους. ὅμως δ' οὖν κἂν ἐκείνους μιμείσθω· ἐκεῖνοι γὰρ οὐκ ἐμπηδῶσιν εἰς τὸ πῦρ, ὡς Ὀνησίκριτος ὁ Ἀλεξάνδρου κυβερνήτης ἰδὼν Κάλανον καόμενόν φησιν,

τὸ τέλος δὲ καὶ τὸ κεφάλαιον: *the end that crowned it all.* — **συκίνων**: like *Ohrfeigen für die Feigen; συκοφάντης, blackguard*, was a term elastic enough to include Theagenes. Cf. Ar. *Vesp.* 145 for another case of similia similibus. In *Alex.* 47 Epicurus's books are burned *ἐπὶ ξύλων συκίνων.* — **Ἡρακλέους** *κτλ.*: see § 4. — **ἱεροσύλων**: sacrilege increased as orthodoxy decayed.

25. **ἄλλως τε**: *and besides.* Cf. *καὶ ἄλλως.* — **κατεσθιόμενος**: (because he was being) *corroded*, cf. *D. Deor.* 13, 2. — **οἱ Βραχμᾶνες**: in *Fugit.* 6 Philosophy relates how she went *first* to the Indians and without difficulty persuaded them to dismount from their elephants and dwell with her, and how that the Brahmans — *γένος ὅλον οἱ Βραχμᾶνες* — fell in line under her command. Lucian seems to speak loosely of the Brahmans not as a caste but as a tribe or nation. — **ὥσπερ οὐκ ἐνόν**, *κτλ.*: *as though it were not possible that any fools should exist*, etc. For acc. abs. see G. 1569; H. 973; Gl. 591; B. 343. — **Ὀνησίκριτος**: see Class. Dict. for account of this somewhat versatile character — historian, Cynic philosopher, and able-bodied mariner. Alexander the Great appointed him *ἀρχικυβερνήτης* on the voyage to India, for which see Arrian's *Indica* written in pseudo-Ionic. In *Hist. Conscr.* 40 Lucian relates a conversation between Onesicritus and Alexander. — **Κάλανον**: an Indian gymnosophist in Alexander's retinue who, because he had fallen ill, stolidly burnt himself in the most approved form. See Plut. *Alex.* 69

ἀλλ᾿ ἐπειδὰν νήσωσι, πλησίον παραστάντες ἀκίνητοι ἀνέχονται παροπτώμενοι, εἶτ᾿ ἐπιβάντες κατὰ σχῆμα καίονται οὐδ᾿ ὅσον ὀλίγον ἐκτρέψαντες τῆς κατακλίσεως. οὗτος δὲ τί μέγα, εἰ ἐμπεσὼν τεθνήξεται συναρπασθεὶς ὑπὸ τοῦ πυρός; οὐδ᾿ ἀπ᾿ ἐλπίδος μὴ ἀναπηδήσεσθαι αὐτὸν καὶ ἡμίφλεκτον, εἰ μή, ὅπερ φασί, μηχανήσεται βαθεῖαν γενέσθαι καὶ ἐν
26 βόθρῳ τὴν πυράν. εἰσὶ δ᾿ οἳ καὶ μεταβάλλεσθαί φασιν αὐτὸν καί τινα ὀνείρατα διηγεῖσθαι, ὡς τοῦ Διὸς οὐκ ἐῶντος μιαίνειν ἱερὸν χωρίον. ἀλλὰ θαρρείτω τούτου γε ἕνεκα· ἐγὼ γὰρ διομοσαίμην ἂν ἦ μὴν μηδένα τῶν θεῶν ἀγανακτήσειν, εἰ Περεγρῖνος κακὸς κακῶς ἀποθάνοι. οὐ μὴν οὐδὲ ῥᾴδιον αὐτῷ ἔτ᾿ ἀναδῦναι· οἱ γὰρ συνόντες κύνες παρορμῶσι καὶ συνωθοῦσιν ἐς τὸ πῦρ καὶ ὑπεκκάουσι τὴν γνώμην οὐκ ἐῶντες ἀποδειλιᾶν, ὧν εἰ δύο συγκατασπάσας ἐμπέσοι εἰς
27 τὴν πυράν, τοῦτο μόνον χάριεν ἂν ἐργάσαιτο. ἤκουον δὲ ὡς οὐδὲ Πρωτεὺς ἔτι καλεῖσθαι ἀξιοῖ, ἀλλὰ Φοίνικα μετωνόμασεν ἑαυτόν, ὅτι καὶ Φοῖνιξ τὸ Ἰνδικὸν ὄρνεον ἐπιβαίνειν πυρᾶς

and Arrian *Anab.* 7, 3, who gives the details, adding: *ὡς καρτερόν τέ ἐστι καὶ ἀνίκητον γνώμη ἀνθρωπίνη ὅ τι περ ἐθέλει ἐξεργάσασθαι.* — **κατὰ σχῆμα . . . κατακλίσεως**: cf. Plut. l.c. *ἐν ᾧ κατεκλίθη σχήματι*, and also *Fugit.* 7 *τοὺς γυμνοσοφιστὰς λέγεις· ἀκούω γοῦν . . . ὅτι ἐπὶ πυρὰν μεγίστην ἀναβάντες ἀνέχονται καιόμενοι οὐδὲν τοῦ σχήματος ἢ τῆς καθέδρας ἐκτρέποντες.* — **τεθνήξεται**: see Introd. 18 (*b*). — **οὐδ᾿ ἀπ᾿ ἐλπίδος μὴ** *κτλ.*: *then, too, it is not past all expectation* (*apprehension*) *that he will jump out*, etc. For *ἀπ᾿ ἐλπίδος* in this sense cf. (if we accept the reading *ἀπ᾿* rather than *ἐξ*), Aesch. *Ag.* 998 ff. *εὔχομαι δ᾿ ἀπ᾿ ἐμᾶς τοιαῦτ᾿ ἐλπίδος ψύθη πεσεῖν ἐς τὸ μὴ τελεσφόρον.* For *μή* c. inf. after words of fearing see Gulick, *Harv. Stud.* XII, pp. 328 ff. To illustrate the meaning of *οὐ . . . ἐλπίς . . . μή* c. inf., Dr. C. W. E. Miller (by letter) cites Thuc. 3, 32, 3 *καὶ ἐλπίδα οὐδὲ τὴν ἐλαχίστην εἶχον μή ποτε Ἀθηναίων τῆς θαλάσσης κρατούντων ναῦς Πελοποννησίων εἰς Ἰωνίαν παραβαλεῖν*, *they had not even the least expectation* (i.e. *apprehension*) *that* etc.; and for the formula with a fut. inf. he compares Thuc. 2, 101, 1 *οἱ Ἀθηναῖοι οὐ παρῆσαν ταῖς ναυσὶν ἀπιστοῦντες* (cf. *ἀπελπίζοντες* and then *ἀπ᾿ ἐλπίδος*) *αὐτὸν μὴ ἥξειν.* For *οὐδ᾿*, Ms. *οὐκ*, see App.

26. **κακὸς κακῶς**: cf. S. Matt. 21, 41 and see App. — **οἱ συνόντες κύνες**: *his dog-disciples*, or *his Cynic associates* (*die Häupter der Hünde*, Wieland). — **οὐκ ἐῶντες ἀποδειλιᾶν**: *won't let him show the white feather.*

λέγεται πορρωτάτω γήρως προβεβηκώς. ἀλλὰ καὶ λογοποιεῖ καὶ χρησμούς τινας διέξεισι παλαιούς δή, ὡς χρεὼν δαίμονα νυκτοφύλακα γενέσθαι αὐτόν, καὶ δῆλός ἐστι βωμῶν
28 ἤδη ἐπιθυμῶν καὶ χρυσοῦς ἀναστήσεσθαι ἐλπίζων. καὶ μὰ Δία οὐδὲν ἀπεικὸς ἐν πολλοῖς τοῖς ἀνοήτοις εὑρεθήσεσθαί τινας τοὺς καὶ τεταρταίων ἀπηλλάχθαι δι' αὐτοῦ φήσοντας καὶ νύκτωρ ἐντετυχηκέναι τῷ δαίμονι τῷ νυκτοφύλακι. οἱ κατάρατοι δὲ οὗτοι μαθηταὶ αὐτοῦ καὶ χρηστήριον, οἶμαι, καὶ ἄδυτον ἐπὶ τῇ πυρᾷ μηχανήσονται, διότι καὶ Πρωτεὺς ἐκεῖνος ὁ Διός, ὁ προπάτωρ τοῦ ὀνόματος, μαντικὸς ἦν. μαρτύρομαι δὲ ἦ μὴν καὶ ἱερέας αὐτοῦ ἀποδειχθήσεσθαι μαστίγων ἢ καυτηρίων ἤ τινος τοιαύτης τερατουργίας, ἢ καὶ νὴ Δία τελετήν τινα ἐπ' αὐτῷ συστήσεσθαι νυκτέριον καὶ δᾳδουχίαν ἐπὶ
29 τῇ πυρᾷ. Θεαγένης δὲ ἔναγχος, ὥς μοί τις τῶν ἑταίρων ἀπήγγειλε, καὶ Σίβυλλαν ἔφη προειρηκέναι περὶ τούτων· καὶ τὰ ἔπη γὰρ ἀπεμνημόνευεν·

27. **πορρωτάτω γήρως προβεβηκώς**: cf. Xen. *Apol.* 30 *προβήσεσθαι πόρρω μοχθηρίας*, *will be far gone in knavery.* — **χρεών**: acc. abs. See App. — **δαίμονα νυκτοφύλακα**: *a guardian angel of darkness.* — **χρυσοῦς . . . ἐλπίζων**: *expecting to have a golden statue set up.* Cf. *Tim.* 51, where Timon's statue is to be set up *χρυσοῦν . . . παρὰ τὴν Ἀθηνᾶν ἐν τῇ Ἀκροπόλει.* *χρυσοῦς*, as at least equivalent to *ἐπίχρυσος*, *gold-plated*, rather than *κατάχρυσος*, *gilded*, suits the exaggerated tone of these passages. Marble as well as bronze was thus gilded. Cf. Virgil *Ecl.* 7, 36 nunc te marmoreum pro tempore fecimus; at tu | . . . aureus esto.

28. **χρηστήριον καὶ ἄδυτον**: *oracle and sanctuary.* For the mechanism of these prosperous dens of thieves see *Alex.* 15 ff., 49, and 53. Peregrinus's hopes were realized. Athenagoras, *Supplicatio pro Christianis* 130–131, tells us that in Parium, the native place of Peregrinus, statues were set up both of him and of Alexander the false prophet —a well-matched pair in Lucian's judgment (see Introd. to *Peregr.*, p. 204). Athenagoras adds that the statue of Proteus *καὶ αὐτὸς λέγεται χρηματίζειν.* — **τελετὴν . . . δᾳδουχίαν**: cf. *Alex.* 38 *τελετήν τε γάρ τινα συνίσταται καὶ δᾳδουχίας καὶ ἱεροφαντίας κτλ.* At the celebration of these mysteries the false prophet made the proclamation cited above at § 21.

29. **Σίβυλλαν**: so, very solemnly, in Ar. *Pax* 1095 *οὐ γὰρ ταῦτ' εἶπε Σίβυλλα.* — **ἀλλ' ὁπόταν** *κτλ.*: this and the following (§ 30) parody of the model

ἀλλ᾽ ὁπόταν Πρωτεὺς Κυνικῶν ὄχ᾽ ἄριστος ἁπάντων
Ζηνὸς ἐριγδούπου τέμενος κάτα πῦρ ἀνακαύσας
ἐς φλόγα πηδήσας ἔλθῃ ἐς μακρὸν Ὄλυμπον,
δὴ τότε πάντας ὁμῶς, οἳ ἀρούρης καρπὸν ἔδουσι,
νυκτιπόλον τιμᾶν κέλομαι ἥρωα μέγιστον
σύνθρονον Ἡφαίστῳ καὶ Ἡρακλῆι ἄνακτι.

30 ταῦτα μὲν Θεαγένης Σιβύλλης ἀκηκοέναι φησίν. ἐγὼ δὲ Βάκιδος αὐτῷ χρησμὸν ὑπὲρ τούτων ἐρῶ· φησὶ δὲ ὁ Βάκις οὕτως σφόδρα εὖ ἐπειπών,

ἀλλ᾽ ὁπόταν Κυνικὸς πολυώνυμος ἐς φλόγα πολλὴν
πηδήσῃ δόξης ὑπ᾽ ἐρινύι θυμὸν ὀρινθείς,
δὴ τότε τοὺς ἄλλους κυναλώπεκας, οἵ οἱ ἕπονται,
μιμεῖσθαι χρὴ πότμον ἀποιχομένοιο λύκοιο.
ὃς δέ κε δειλὸς ἐὼν φεύγῃ μένος Ἡφαίστοιο,
λάεσσιν βαλέειν τοῦτον τάχα πάντας Ἀχαιούς,
ὡς μὴ ψυχρὸς ἐὼν θερμηγορέειν ἐπιχειρῇ
χρυσῷ σαξάμενος πήρην μάλα πολλὰ δανείζων,
ἐν καλαῖς Πάτραισιν ἔχων τρὶς πέντε τάλαντα.

oracle have the regulation Epic phrasing mixed with the Tragic, and are reminiscent also of Ar. *Eq.* 197 ff.; e.g. cf. the first verse with *Eq.* 197 and v. 4 with *Eq.* 199 etc. See also Ar. *Aves* 983 and 985. Lucian also mocks the pious Pausanias. For the orthodox belief in the Sibyls etc. cf. Paus. 10, 12, 1–5, and esp. 9, 17, 5 for an oracle of Bacis beginning *ἀλλ᾽ ὁπόταν Τιθορεὺς Ἀμφίονί τε Ζήθῳ τε . . .* and the similar injunction *καὶ τότε δὴ πεφύλαξο.*

